quoque potu, et in moderatione sermonis, ut nulli audeamus maledicere. Ergo quum propter Dei timorem caveamus in quempiam maledicta conferre, recordantes illius dicti: „non [1]) fuit ausus judicium inferre blasphemiae:" quod dicitur de Michaele contra diabolum: et in alio loco: „dominationes [2]) quidem reprobant, glorias autem blasphemant:" quidam [3]) eorum, qui libenter contentiones reperiunt, adscribunt nobis et nostrae doctrinae blasphemiam, super qua ipsi viderint, quomodo illud audiant: „neque [4]) ebriosi, neque maledici regnum Dei possidebunt:" licet patrem malitiae et perditionis eorum, qui de regno Dei ejicientur, dicant posse salvari: quod ne mente quidem quis captus dicere potest.

Sed nihil mirum mihi videtur, si adulteretur doctrina mea ab inimicis meis, et tali adulterio corrumpatur, quali adulterio corrupta est epistola Pauli apostoli. Quidam enim sub nomine Pauli apostoli falsam epistolam scripserunt, ut conturbarent Thessalonicenses, quasi instaret dies Domini, et seducerent eos. Propter hanc epistolam in secunda epistola, quam ad Thessalonicenses scripsit, haec dixit: „rogamus [5]) autem vos, fratres, per adventum Domini nostri Jesu Christi, et per vestram congregationem

---

[1]) Ep. Judae vers. 9. [2]) Cfr. ep. Judae vers. 8.

[3]) Rufinus, teste Hieronymo lib. II. Apologiae adversus Rufinum, fraudulenter amputatis superioribus, ex quibus inferiora dependent, sic coepit transferre epistolam, quasi hoc sensu superius esset exordium, et ait: „Quidam eorum, qui libenter habent criminari proximos suos, adscribunt nobis et doctrinae nostrae crimen blasphemiae, quod a nobis nusquam audierunt: de quo ipsi viderint, nolentes observare mandatum illud, quod dicit: *quia maledici regnum Dei non possidebunt:* dicentes asserere me patrem malitiae et perditionis eorum, qui de regno Dei ejiciuntur, id est, diabolum esse salvandum: quod ne aliquis quidem mente motus et manifeste insaniens dicere potest" R.

[4]) Cfr. I Cor. VI, 9. 10.

[5]) Cfr. II Thess. II, 1—3.

in ipsum, ut non moveamini cito a sensu vestro, neque terreamini, neque per spiritum, neque per verbum, neque per epistolam tanquam per nos missam, quasi instet dies Domini. Nemo vos seducat ullo modo." Talia ergo quaedam video etiam nobis accidere. Nam quidam auctor haereseos, cum sub praesentia multorum habita inter nos fuisset disputatio, et descriptum accipiens ab his, qui descripserant, Codicem, quae voluit addidit, et quae noluit, abstulit, et quod ei visum est, permutavit, circumferens tanquam ex nomine nostro, insultans, et ostendens ea, quae ipse conscripsit. Pro quibus indignantes fratres, qui in Palaestina sunt, miserunt ad me Athenas hominem, qui acciperet a me ipsum authenticum exemplar, quod ne relectum quidem, vel recensitum a me antea fuerat, sed ita neglectum jacebat, ut vix inveniri potuerit. Misi tamen, et sub Deo teste loquor, quoniam cum convenissem illum ipsum, qui adulteraverat librum, quare hoc fecisset, velut satisfaciens mihi respondit, quoniam magis ornare volui disputationem illam, atque purgare. Videte, quali purgatione disputationem nostram purgavit: tali nempe, quali purgatione Marcion Evangelia purgavit, vel Apostolum, vel quali successor ejus post ipsum Apelles. Nam sicut illi subverterunt Scripturarum veritatem: sic et iste sublatis, quae vere dicta sunt, ob nostri criminationem inseruit quae falsa sunt. Sed licet homines haeretici et impii sint, qui haec facere ausi sunt, tamen habebunt et illi judicem Deum, qui talibus adversum nos criminationibus accommodant fidem. Fecerunt autem hoc et alii nonnulli, conturbare volentes ecclesias. Denique in Epheso cum vidisset me quidam haereticus, et congredi noluisset, neque omnino os suum aperuisset apud me, sed nescio qua ex causa id facere vitasset, postea ex nomine meo et suo conscripsit qualem voluit disputationem, et misit ad discipulos suos, ut ego quidem cognovi, ad eos, qui Romae erant; sed non dubito, quin et ad alios, qui per di-

versa sunt. Insultabat autem et apud Antiochiam, priusquam ego illuc venirem, ita ut et ad quamplurimos nostrorum perveniret ipsa disputatio, quam portabat. Sed ubi adfui, multis eum praesentibus argui; cumque jam sine ullo pudore pertenderet impudenter asserere falsitatem, poposci ut liber deferretur in medium, et stylus meus agnosceretur a fratribus, qui utique cognoscunt quae soleo disputare, vel quali soleo uti doctrina. Qui cum ausus non esset proferre librum, convictus ab omnibus et confutatus est falsitatis, et ita persuasum est fratribus, ne aurem criminationibus praeberent. Si quis ergo credere vult mihi in conspectu Dei loquenti, etiam de his, quae in epistola mea conficta sunt et inserta, credat: sin autem quis non credit, sed vult de me male loqui, mihi quidem nihil damni confert: erit autem ipse falsus testis apud Deum, adversus proximum suum testimonium falsum vel dicens, vel proferens.

Ἐκ τῆς Ἀλεξάνδρου τῶν Ἱεροσολύμων ἐπισκόπου πρὸς Ὠριγένην ἐπιστολῆς.

Τοῦτο γὰρ καὶ θέλημα θεοῦ, ὡς οἶδας, γέγονεν, ἵνα ἡ ἀπὸ προγόνων ἡμῖν φιλία μένῃ ἄσυλος, μᾶλλον δὲ θερμοτέρα ᾖ, καὶ βεβαιοτέρα. Πατέρας γὰρ ἴσμεν τοὺς μακαρίους ἐκείνους τοὺς προοδεύσαντας, πρὸς οὓς μετ᾽ ὀλίγον ἐσόμεθα, Πάνταινον τὸν μακάριον ὡς ἀληθῶς καὶ κύριον· καὶ τὸν ἱερὸν Κλήμεντα, κύριόν μου γενόμενον, καὶ ὠφελήσαντά με· καὶ εἴ τις ἕτερος τοιοῦτος, δι᾽ ὧν σε ἐγνώρισα τὸν κατὰ πάντα ἄριστον καὶ κύριόν μου καὶ ἀδελφόν.

IN EPISTOLAM

AFRICANI AD ORIGENEM

ET ORIGENIS AD AFRICANUM

RESPONSUM

DE SUSANNAE HISTORIA

ADMONITIO.

1. Hisce duabus scriptiunculis nihil fere est apud Veteres celebratius. Eusebius lib. VI. Hist. Eccles. cap. 31. ait: „ἐπιστολὴ τούτου (Ἀφρικανοῦ) Ὠριγένει γραφεῖσα φέρεται, ἀποροῦντος ὡς ἂν νόθου καὶ πεπλασμένης οὔσης τῆς ἐν τῷ Δανιὴλ κατὰ Σωσάνναν ἱστορίας· πρὸς ἣν Ὠριγένης ἀντιγράφει πληρέστατα." Rufinus in sua versione haec pro more suo sic παραφράζει. „Per idem tempus erat etiam Africanus, vir in scripturis ecclesiasticis nobilis. Hujus epistola fertur ad Origenem scripta, objicientis ei vel proponentis, quod historia Susannae, quae in Daniele scripta est, ficta videatur et aliena a scriptura prophetica. Cui Origenes magnificentissime rescribens, asserit nequaquam Judaeorum commentis et fraudibus auscultandum: sed hoc solum pro vero habendum in scripturis divinis, quod LXX. interpretes transtulissent: nam id esse solum, quod auctoritate Apostolica confirmatum sit." Ubi obiter notes, Hieronymum non oblique perstringi, qui praefatione in Danielem ex Judaei persona loquens, Susannae historiam commentum seu fabulam vocaret. Eusebio addendus est mox praefatus Hieronymus, qui libro de Scriptor. Eccles. in Julio Africano ait:

„hujus est epistola ad Origenem super quaestione Susannae, eo quod dicat in Hebraeo hanc fabulam non haberi, nec convenire cum hebraica etymologia *ἀπὸ τοῦ σχίνου σχίσαι, καὶ ἀπὸ τοῦ πρίνου πρίσαι*, contra quem doctam epistolam scribit Origenes.“ His consentit Photius in Biblioth. Cod. 34. „*Οὗτος* (*Ἀφρικανὸς*) *καὶ πρὸς Ὠριγένην γράφει περὶ τοῦ κατὰ Σωσάνναν διηγήματος, ὡς οὐκ ἦν αὐτὸ ἐν τοῖς ἑβραϊκοῖς ἀνεγνωσμένον, καὶ ὡς οὐκ ἀκόλουθον τῇ ἑβραϊκῇ ἐτυμολογίᾳ, οὔτε τὸ ἀπὸ τοῦ πρίνου πρίσαι, οὔτε τὸ ἀπὸ τοῦ σχίνου σχίσαι· ἃ καὶ ἐπιλαβόμενος Ὠριγένης ἀντέγραψεν.*“ Suidas in voce *Ἀφρικανός*, ait: „*κατὰ τούτου ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου, τοῦ εἰς τὸν Δανιήλ.*“ Idem in voce *Σωσάννα*. „*Ὅτι κατὰ τοῦ Ἀφρικανοῦ Σέξτου ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου, τοῦ εἰς τὸν Δανιήλ.*“ Bene quidem, nisi quod Julium Africanum cum Africano Sexto confundit, uti Josephus Scaliger nos monet in Animadv. Euseb. ad ann. MMCCXXXVII. Freculphus in Chronic. Tom. II. lib. III. cap. VIII. „Hujus (Africani) est epistola ad Adamantium super quaestione Susannae, eo quod dicat eam in hebraico fabulam haberi, (*lege:* non haberi), nec convenire cum hebraico: contra quam epistolam doctam scripsit Adamantius.“ Nicephorus Callistus lib. V. Hist. Eccl. cap. XXI. „*Οὗτος δὲ* (*Ἀφρικανὸς*) *ἐπιστολὴν σχεδιάσας ἔπεμπεν Ὠριγένει, τὴν κατὰ Σωσάνναν παρὰ τῷ Δανιὴλ ἱστορίαν, ὡς ἂν νόθον τῆς γραφῆς ἀποσειόμενος σύγγραμμα. Πρὸς ἣν Ὠριγένης ἀντιγράφων, δείκνυσι μὴ νόθον εἶναι, ἀλλὰ καὶ μᾶλλον γνήσιον τῇ γραφῇ, καὶ πληρεστάτην πραγματευόμενον λυσιτέλειαν.*“ Gobelinus Persona in Cosmodromio aetat. VI. cap. X. „Gordianus, inquit, imperavit annis sex. Hoc tempore Africanus Historicus fuit, qui scripsit ad Origenem unam epistolam de historia Susannae.“ Eam quoque inter opera Julii Africani refert Trithemius

lib. de Scriptor. Eccles. „Ad Origenem, inquit, de Susanna liber unus.“ Denique utraque haec epistola tam unanimi veterum testimonio asserta, pluribus insuper hodieque consignata reperitur Mss. codicibus, quorum duo praesertim venerandam prae se ferunt antiquitatem. Alter enim e Bibliotheca Coisliniana num. XXI. undecimo ecclesiae saeculo est exaratus; alter vero e Bibliotheca Regia num. 1892. scriptus est decimo tertio saeculo.

2. Certum est Origenem Nicomediae hanc suam ad Africanum epistolam scripsisse: cumque bis in Graeciam iter instituerit, primum anno 228., secundum autem duodecim post annos, alterutro itinere Nicomediam petisse, et inde epistolam dedisse videtur. Huetius secundo itineri id tribuit. Certe in hac epistola Africano narrat Origenes, se ingenti labore Hebraici textus et LXX. interpretum varias lectiones, facta utriusque collatione collegisse, eaque de causa varias omnes editiones examinavisse. Quod si Hexapla sua indicare voluit, quibus edendis manum admovit, postquam sextam editionem, Epiphanio teste, anno Alexandri Severi septimo, id est Christi 228., reperit, non potuisse videtur hoc eodem anno tam arduum tamque immensum opus Hexaplorum concinnasse et edidisse. Melius ergo epistola ad Africanum ad secundum in Graeciam iter remittitur. Tillemontius non censet in hac epistola Hexapla indicari, sed Tetrapla, quae opinatur adornari potuisse ante annum 228. At vero in hac epistola de LXX. cum obelis et asteriscis editione loquitur Origenes num. 4. „*Καὶ ἄλλα δέ ἐστιν*, inquit, *εὑρεῖν ἐν τῇ Γενέσει, οἷς σημεῖα παρεθήκαμεν, τοὺς καλουμένους παρ᾽ Ἕλλησιν ὀβελοὺς, ἵν᾽ ἡμῖν γνώριμον ᾖ τὸ τοιοῦτον· ὡς πάλιν ἀστερίσκους, τοῖς κειμένοις μὲν ἐν τῷ ἑβραϊκῷ, παρ᾽ ἡμῖν δὲ μὴ εὑρισκομένοις.*“ Quod autem in Tetraplis editionem LXX. non emendaverit Origenes, sed iis manum medicam obelorum et asteriscorum usu postea admoverit, nempe cum Hexapla et Octapla adornaret, invicte probat

R. P. dominus Bernardus de Montfaucon in Praeliminaribus suis ad Hexapla pag. 10. et pag. 38. Non ergo solum post Tetraplorum, sed etiam post Hexaplorum editionem et ad secundum Origenis iter in Graeciam epistola ad Africanum remittitur. Quod autem objicit sibi Tillemontius ex epistola Africani, ubi Origenem ille filium appellat, non tanti esse momenti videtur; nam verisimile est ideo filium Origenem fuisse nuncupatum, quia longe minor aetate erat: quae ratio tam in primo, quam in secundo ejus itinere par haud dubie erat. Nec desunt exempla, quibus id confirmetur. Eusebius enim Vercellensis Dionysium Mediolanensem episcopum, aetate jam maturum dignitateque conspicuum, se tamen juniorem, filium compellare solebat.

3. Nunc confutandus est Joannes Rudolphus Wetstenius, qui in notis ad hanc Origenis epistolam, quam anno 1674. in lucem graece edidit, censet non eo spectare illius argumenta, ut *ἀποκοπὴ* Susannae pro Canonica, *θεοπνεύστῳ*, et vera genuinaque libri Danielis parte recipiatur, sed tantum ut pro vera, utili, ac proinde inter pios et sacros libros legenda historia habeatur. Quam falsum id sit, paucis accipe. 1) Scripserat Africanus se, cum Origenem in dialogo cum Agnomone audiisset historiam Susannae commemorantem, putasse primum rem ita se habere, sed postmodum re maturius perpensa mirari, quo pacto tantum virum latuerit spuriam esse hanc libri Danielis partem. „*Θαυμάζω*, inquit, *πῶς ἔλαθέ σε τὸ μέρος τοῦ βιβλίου τοῦτο κίβδηλον ὄν.*“ Origenes igitur in dialogo absque ullo dubitationis indicio laudaverat hanc historiam ceu veram et genuinam libri Danielis partem. 2) Nec lecta Africani epistola sententiam mutavit. Id patet ex ejus singulis ad Africani objecta responsis. Objicit Africanus, primitus hanc historiam hebraice in Danielis libro non fuisse, sed postmodum graece adjectam. „*Ἐξ ἁπάντων τούτων*, inquit, *ἐμοὶ δοκεῖ προσκεῖσθαι ἡ περι-*

κοπή." Quid respondet Origenes? „*Οὐδὲν ἄτοπόν ἐστιν*, inquit num. 9., *γεγονέναι μὲν τὴν ἱστορίαν, καὶ τὴν μετὰ πολλῆς ἀκολασίας ὠμότητα τετολμῆσθαι τοῖς τότε πρεσβυτέροις κατὰ τῆς Σωσάννης, καὶ γεγράφθαι μὲν προνοίᾳ τοῦ πνεύματος, ὑπεξαιρεῖσθαι δὲ, ὡς ἂν εἴποι τὸ πνεῦμα, ὑπὸ τῶν ἀρχόντων Σοδόμων.*" Et paulo ante: „*Οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ ἀληθῆ τυγχάνουσαν τὴν περὶ Σωσάνναν ἐπιβουλευθεῖσαν ὑπὸ ἀκολάστων πρεσβυτέρων ἱστορίαν, οἱ μὴ μακρὰν τυγχάνοντες τῆς προαιρέσεως τῶν πρεσβυτέρων ἐκείνων ἐξέκλειψαν, καὶ ὑφεῖλον ἀπὸ τῶν γραφῶν.*" 3) Objicit Africanus hujus historiae stylum a vero Danielis stylo, et narrandi ratione differre. Respondet Origenes num. 16., id sibi non videri: „*ὅπερ ἐμοὶ οὐ πάνυ τι ἐφάνη*. 4) Ait Africanus Danielem non videri alibi prophetasse ex inspiratione, sed post visiones. Respondet Origenes num. 10., non satis illum advertisse animum ad id, quod ait Paulus Hebr. I, 1., multifariam multisque modis olim Deum patribus locutum esse in prophetis; nec proinde mirum videri debere, si, quod multis aliis obtigit, ut modo post visiones, modo inspiratione correpti loquerentur, idem quoque Danieli accidit. 5) Objicit Africanus, hujus historiae circumstantias non satis sapere gravitatem Scripturae sacrae. Respondet Origenes num. 11. mirari se, quo pacto vir tanta sapientia tantaque pietate ac religione praeditus, criminari audeat loquendi scripturae modos, quos si liceret ludibrio vertere, tolerabilius derideri posse duarum mulierum historiam, quae III Regg. III, 16. et seqq. de puero coram Salomone altercantur. 6) Ait Africanus, lusum verborum *πρίνου πρὸς πρίσαι*, et *σχίνου πρὸς σχίσαι*, graecum auctorem prodere. Respondet Origenes, se quidem in hebraeo textu, cum interciderit, simile quidpiam non posse exhibere; at non dubitandum, quin in eo similes esse potuerint verborum lusus, cujusmodi in multis aliis Scripturae locis hebraice reperiuntur. 7) Ait Africanus,

locum Exodi XXIII, 7., qui in hac historia laudatur, argumento esse eam Danielem auctorem non habere, cum nullibi scripturarum reperiatur propheta alterius prophetae verba usurpasse. Respondet Origenes num. 15. mirari se, quo pacto id a tam docto viro potuerit objici, quod multis contrariis refellitur exemplis, quae et simplicioribus et rudioribus nota sunt.

Haec est Africani objectionum et Origenis responsionum synopsis, ex qua, ni fallor, liquet Susannae historiam ut veram, genuinam libri Danielis partem, ac proinde ceu canonicam, *θεόπνευστον*, scripturam ubique ab Origene defendi; neque enim ullus dubitandi locus est, quin ceteras libri Danielis partes pro canonicis habuerit. Huc adde, quod Origenes homilia prima in Leviticum historiam Susannae canonicis libris accenset, his disertis verbis: „Sed tempus est, nos adversus improbos presbyteros uti sanctae Susannae vocibus, quas illi quidem repudiantes, historiam Susannae de catalogo divinorum voluminum resecarunt: nos autem et suscipimus, et contra ipsos opportune proferimus.“ Idem tractatu 31. in Matthaeum: „Usi sumus, inquit, hoc loco Danielis exemplo, non ignorantes, quod in Hebraeo positum non est: sed quoniam in ecclesiis tenetur, alterius temporis est requirere de ejusmodi.“ Ne quis vero cum Wetstenio causetur, priori loco ex homilia prima in Leviticum desumto aliquid forte a Rufino insertum esse, quod in graeco contextu non fuerit, en alium Origenis locum graece scriptum, et teste Eusebio lib. VI. Praepar. Evang., et Philocal. cap. XXII. depromtum ex ejus commentariis in Genesin: „*εἰ δὲ δεῖ καὶ ἀπὸ τῶν γραφῶν τοῦτο παραστῆσαι, πλήρεις μέν εἰσιν αἱ προφητεῖαι τοιούτων παραδειγμάτων, καὶ κατὰ Σωσάνναν δὲ τοῦ θεοῦ γινώσκοντος τὰ πάντα πρὶν γενέσεως αὐτῶν, οὕτω λέγουσαν· ὁ θεὸς ὁ αἰώνιος, ὁ τῶν κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ ἐπίστασαι, ὅτι ψευδῆ μου κατεμαρτύρησαν οὗτοι.*“

ΑΦΡΙΚΑΝΟΥ
ΠΕΡΙ
ΤΗΣ ΚΑΤΑ ΣΩΣΑΝΝΑΝ ΙΣΤΟΡΙΑΣ
ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΩΡΙΓΕΝΗΝ.

1. *Χαῖρε κύριέ μου, καὶ υἱὲ, καὶ πάντων τιμιώτατε Ὠρίγενες, παρὰ Ἀφρικανοῦ.*

Ὅτε τὸν ἱερὸν ἐποιοῦ [1]) *πρὸς τὸν Ἀγνώμονα διάλογον, ἐμνήσθης τῆς ἐν νεότητι προφητείας τοῦ Δανιήλ· καὶ, ὡς ἔπρεπεν, ἠσπασάμην τότε. Θαυμάζω δὲ, πῶς ἔλαθέ σε τὸ μέρος τοῦ βιβλίου τοῦτο κίβδηλον ὄν· ἡ γάρ τοι περικοπὴ αὕτη χαρίεν μὲν ἄλλως* [2]) *σύγγραμμα,* [3]) *νεωτερικὸν δὲ* [4]) *καὶ πεπλασμένον δείκνυταί τε καὶ κατὰ πολλοὺς ἀπελέγχεται τρόπους· τῆς γὰρ Σωσάννης ἀποθανεῖν κεκελευσμένης, πνεύματι ληφθεὶς ὁ προφήτης ἐξεβόησεν, ὡς ἀδίκως ἡ ἀπόφασις ἔχοι. Πρῶτον οὖν,* [5]) *ὅτι Δανιὴλ ἄλλῳ τρόπῳ προφητεύει ὁράμασι καὶ ὀνείροις διὰ παντὸς καιροῦ· καὶ ἀγγέλου ἐπιφανείας τυγχάνει, ἀλλ᾽ οὐκ ἐπιπνοίᾳ προφητικῇ. Ἔπειτα, μετὰ τὸ θαυμασίως πως οὕτως ἀποφθέγξασθαι, καὶ παραδοξό-*

[1]) Ed. Hoeschelii: „*ἐποίου.*"

[2]) Ed. Hoeschelii: „*ἄλλως τε γράμμα, ἀλλὰ σύγγραμμα.*" — Ed. Ruaei, ut nos, in textu, in notis eadem: „sic recte legit Cod. Regius."

[3]) Ed. Wetstenii: „*σύγγραμμα, ἀλλὰ σύγγραμμα.*"

[4]) Deest in ed. Hoeschelii: „*δέ.*"

[5]) Deest „*οὖν*" in edd. Hoeschelii et Wetstenii.

τατά πως αὐτοὺς ἀπελέγχει, ὡς οὐδὲ Φιλιστίων [1]) ὁ μῖμος. Οὐ γὰρ ἐξήρκει ἡ διὰ τοῦ πνεύματος ἐπίπληξις, ἀλλ' ἰδίᾳ διαστήσας ἑκάτερον, ἐρωτᾷ, οὗ αὐτὴν θεάσαιτο μοιχωμένην. Ὡς δὲ ὁ μὲν ὑπὸ πρῖνον ἔφασκεν, ἀποκρίνεται πρίσειν αὐτὸν τὸν ἄγγελον· τῷ δὲ ὑπὸ σχῖνον [2]) εἰρηκότι, σχισθῆναι παραπλησίως ἀπειλεῖ. Ἐν μὲν οὖν ἑλληνικαῖς φωναῖς τὰ τοιαῦτα ὁμοφωνεῖν συμβαίνει,[3]) παρὰ τὴν πρῖνον τὸ πρίσαι, καὶ σχίσαι παρὰ [4]) τὴν σχῖνον· ἐν δὲ τῇ ἑβραΐδι τῷ παντὶ διέστηκεν. Ἐξ Ἑβραίων δὲ τοῖς Ἕλλησι μετεβλήθη πάνθ' ὅσα τῆς παλαιᾶς διαθήκης φέρεται.[5])

2. Πῶς δὲ παρὰ Χαλδαίοις αἰχμάλωτοι ὄντες ἐν τῇ Βαβυλῶνι, ἠστραγαλωμένοι,[6]) καὶ ἐν ταῖς πλατείαις ἄταφοι [7]) ῥιπτούμενοι, ὡς ἐν τῇ προτέρᾳ αἰχμαλωσίᾳ τοῦ Ἰσραὴλ ἱστόρηται,[8]) τῶν τε παίδων αὐτοῖς ἀποσπωμένων εἰς εὐνουχισμὸν, καὶ τῶν θυγατέρων εἰς παλλακὰς, ὡς πεπροφήτευτο,[9]) οἱ [10]) δὲ περὶ θανάτου ἔκρινον·

---

[1]) R. in notis: „genuina certe est hujus loci lectio, quamvis Hoeschelius habet: Φιλιστίωνος μῖμος."

[2]) Wetst. in textu: „σχοῖνον," ad marg. vero: „lege: σχῖνον." — Edd. W. et R. videlicet constanter: „πρῖνον, et σχῖνον."

[3]) Wetsten. in textu: „συμβαίνειν," ad marg. vero: „Hoeschelius: συμβαίνει."

[4]) Wetst. in textu: „παρὰ τὸν σχῦνον· ἐν δὲ τῇ ἑβραΐδῃ" κτλ., ad marg. vero: „lege: σχῖνον· ἐν δὲ τῇ ἑβραΐδι" κτλ.

[5]) Hoeschelius: „φέρεται παρὰ Ἰουδαίοις. Εἶτα αἰχμάλωτοι ὄντες. At Codd. Reg. et Wetstenian. (itemq. ed. Wetst.) ut in nostro textu." R.

[6]) Wetstenius: „ἀστραγαλωμένοι."

[7]) Deest „ἄταφοι" in ed. Hoeschelii.

[8]) Hoeschelius: „ἱστορεῖται, τῶν τε παίδων αὐτῶν ἀποσπωμένων."

[9]) Wetst. in notis: „lege: πεπροφήτευται." — Cfr. Jesai. XXXIX. coll. Jerem. XVI.

[10]) Ed. Ruaei: „οἵδε."

καὶ ταῦτα τῇ βασιλέως αὐτῶν γενομένου γυναικὶ Ἰωακεὶμ, ὃν σύνθρονον πεποίητο ὁ Βαβυλωνίων βασιλεύς; Εἰ δὲ οὐχ οὗτος, ἀλλ' ἄλλος τις τοῦ λαοῦ Ἰωακεὶμ, πόθεν τοιαύτη κατάλυσις αἰχμαλώτῳ περιῆν, καὶ παράδεισος ἀμφιλαφὴς ἦν; Πρὸ [1]) δὲ τούτων ἁπάντων, ἥδε ἡ περικοπὴ σὺν [2]) ἄλλαις δύο ταῖς ἐπὶ τῷ τέλει, [3]) τῷ παρὰ τῶν Ἰουδαίων εἰλημμένῳ Δανιὴλ οὐκ ἐμφέρεται. Ἐπὶ δὲ πᾶσι τοσούτων [4]) προωδοιπορηκότων προφητῶν, ἑξῆς [5]) οὐδείς [6]) ἐστιν ἑτέρου κεχρημένος ῥητῷ νοήματι. Οὐ γὰρ ἐπτώχευσεν ὁ λόγος αὐτῶν ἀληθὴς ὤν· οὑτοσὶ δὲ ἐκείνων θατέρῳ ἐπαπειλῶν, ὑπομιμνήσκει λέγοντος τοῦ κυρίου· „ἀθῶον [7]) καὶ δίκαιον οὐκ ἀποκτενεῖς.“ Ἐξ ἁπάντων τούτων [8]) ἐμοὶ δοκεῖ προσκεῖσθαι [9]) ἡ περικοπή· ἀλλὰ καὶ τῆς φράσεως ὁ χαρακτὴρ διαλλάσσει. Ἔκρουσα· σὺ [10]) δέ μοι ἤχησον, καὶ ἀντιγράφων παίδευε. Τοὺς κυρίους μου πάντας προσαγόρευε. Σὲ οἱ ἐπιστάμενοι πάντες προσαγορεύουσιν· ἐῤῥῶσθαί σε ἅμα τῇ συνοδίᾳ [11]) καὶ κατὰ νοῦν εὔχομαι.

---

[1]) Hoeschelius: „Πρὸς δὲ τούτοις ἅπασιν ἥδε“ κτλ. — R. in notis: „Cod. Reg. ut in nostro textu: Πρὸ δὲ τούτων — ἐμφέρεται.“

[2]) Hoeschelius: „σὺν ἄλλοις δυσί,“ Wetstenius: „σὺν ἄλλοις δύο.“

[3]) Wetstenius: „τέλει τῶν παρὰ τῶν Ἰουδαίων εἰλημμένων Δανιὴλ“ κτλ. — Hoeschel. ut in nostro textu.

[4]) Hoeschelius: „τοσούτων τῶν“ κτλ.

[5]) R. in notis: „Origenes in responso Africani verba aliter refert: τῶν τε ἑξῆς οὐδεὶς ἕτερος ἑτέρου κέχρηται ῥητῷ νοήματι.“

[6]) Wetst., ut nos, in textu, in marg. vero: „lege: οὐδεὶς ἑτέρων κέχρηται ῥητῶν.“

[7]) Exod. XXIII, 7.

[8]) Deest „τούτων“ apud Hoeschelium.

[9]) Hoeschelius: „προκεῖσθαι.“

[10]) Hoeschelius: „σὺ δέ μοι καὶ ἤχησον.“

[11]) Hoeschelius: „συνουσίᾳ.“

ΩΡΙΓΕΝΟΥΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΦΡΙΚΑΝΟΝ.

1. Ὠριγένης Ἀφρικανῷ ἀγαπητῷ ἀδελφῷ, ἐν Θεῷ πατρὶ διὰ Ἰησοῦ Χριστοῦ, τοῦ ἁγίου παιδὸς αὐτοῦ,[1]) εὖ πράττειν.

Ἡ μὲν σὴ ἐπιστολὴ, δι' ἧς ἐμάνθανον, ἃ ἐνέφηνας περὶ τῆς ἐν τῷ Δανιὴλ φερομένης ἐν ταῖς ἐκκλησίαις Σωσάννης, βραχεῖα μέν τις εἶναι δοκεῖ· ἐν ὀλίγοις δὲ πολλὰ προβλήματα ἔχουσα, ὧν ἕκαστον ἐδεῖτο οὐ τῆς τυχούσης ἐξεργασίας, ἀλλὰ τοσαύτης, ὥστε ὑπερβαίνειν τὸν ἐπιστολικὸν χαρακτῆρα, καὶ συγγράμματος ἔχειν[2]) περιγραφήν. Ἐγὼ δὲ τὸ ἐμαυτοῦ τῆς διανοίας μέτριον, ὅση δύναμις, κατανοῶν, ἵνα μὴ ἀναισθητοίην ἐμαυτοῦ, θεωρῶ,[3]) ὅτι ἀπολείπομαι τῆς ἀπαιτουμένης ἀκριβείας εἰς τὴν ἀντιγραφὴν τῆς ἐπιστολῆς σου· ὡς καὶ οὐδ' ὀλίγαι τῆς ἐν Νικομηδείᾳ διατριβῆς ἡμέραι μοι διήρκουν πρὸς τὸ κἂν[4]) κατὰ τὴν παροῦσαν λέξιν, περὶ ὧν ἐζήτησας, καὶ[5]) ἀπήτησάς με ἐπιστεῖλαί σοι. Διόπερ συγγνώμην ἀπονέμων τῇ τε μετριότητί μου,

---

[1]) Deest „αὐτοῦ" apud Hoeschelium.

[2]) Hoeschelius: „ἔχειν," Wetstenius: „ἔχων." — R. in notis: „Cod. Reg., ut nos, in textu: ἔχειν."

[3]) Hoeschelius: „θεωρᾶν, ὅτι ἀπολείπομαι."

[4]) Wetst. ad marginem: „forte legendum: πᾶν."

[5]) Hoeschelius: „καὶ ἀπήτησάς με, ἐπιστεῖλαί σοι."

καὶ τῇ ἀπὸ τοῦ καιροῦ στενοχωρίᾳ, ἔντυχε [1]) τῇ ἐπιστολῇ μετὰ πάσης εὐνοίας, συνεισφέρων εἴ τι ὑφ' ἡμῶν παραλέλειπται.

2. Καὶ πρῶτόν γε ἔφασκες, ὅτι ἡνίκα διελεγόμην τῷ [2]) ἑταίρῳ ἡμῶν Βάσσῳ, καὶ [3]) συνεχρώμην τῇ τοῦ Δανιὴλ νεωτέρου προφητεύσαντος περὶ τῶν κατὰ τὴν Σωσάνναν γραφῇ, τοῦτο πεποίηκα, ὡς [4]) λανθάνοντός με τοῦ μέρους τοῦ βιβλίου κεκιβδηλευμένου [5]) ὄντος. Καὶ ἔλεγες τὴν περικοπὴν ταύτην ἐπαινεῖν μέν πως ὥς [6]) τι χαρίεν. Ἔφασκες δὲ ψέγειν ὡς οὖσαν σύγγραμμα νεωτερικὸν καὶ πεπλασμένον· καὶ ὅτι ὡς οὐδὲ Φιλιστίων ὁ μῖμος ἐχρήσατο ἀναπλάσας τὸ συγγραμμάτιον τῇ τῶν ὀνομάτων γειτνιάσει, πρίνου πρὸς πρίσιν, καὶ σχίνου πρὸς σχίσιν· ἅπερ κατὰ [7]) μὲν τὴν Ἑλλήνων φωνὴν τοιαῦτα εἶναι δοκεῖ, [8]) κατὰ δὲ τὴν

---

[1]) Hoeschelius: „πρόσεχε τῇ ἐπιστολῇ μετὰ πάσης ἐννοίας."

[2]) Sunt, qui hoc loco legendum putant: τῷ ἑτερογνώμονι Βάσσῳ. Ruaeus.

[3]) Hoeschelius: „καὶ συνετυχόμην τῇ τοῦ Δανιήλ."

[4]) Hoeschelius: „ὡς λανθάνοντός μου τοῦ μέρους."

[5]) Ed. R., ut nos, in textu, in notis: „Cod. Regius: κεκιβδηλευμένου ὄντος. Ab antea editis (v. c. edd. Hoesch. et Wetsten.) abest ὄντος."

[6]) Ed. Wetstenii: „ὡς χαρίεν· ἀλλ' ὡς οὖσαν σύγγραμμα νεωτερικὸν πεπλασμένον· ἔφασκες δὲ ψέγων, ὅτι ὡς οὐδὲ Φιλιστίων ὁ μῖμος ἐχρήσατο ἀναπλάσασθαι," sicque Hoeschelius, nisi quod pro ψέγων habet λέγων; pro Φιλιστίων ὁ μῖμος, legit ὁ Φιλιστίωνος μῖμος, et ἀναπλάσας pro ἀναπλάσασθαι. Sed praestantior est Cod. Reg. lectio, quam sequimur in textu, ubi νεωτερικόν inter et πεπλασμένον addidimus conjunctionem καί, quam habet Africanus. Expungatur item post ὅτι particula ὡς ut superflua, et perperam ex ep. Africani huc adducta. Ruaeus.

[7]) Hoeschelius: κατὰ τὴν μέν κτλ.

[8]) Optime Cod. Reg. restituit vocem: „δοκεῖ," quae

Ἑβραίων οὐδαμῶς. Ἴσθι τοίνυν πρὸς ταῦτα, τί χρὴ ἡμᾶς πράττειν οὐ περὶ τῶν κατὰ Σωσάνναν μόνον, ἐν μὲν τῷ καθ᾽ Ἕλληνας ἑλληνικῷ φερομένων ἐν πάσῃ ἐκκλησίᾳ Χριστοῦ, παρὰ δὲ Ἑβραίοις μὴ κειμένων· οὐδὲ περὶ τῶν, ὡς ἔφασκες, ἄλλων δύο περικοπῶν τῶν ἐπὶ τέλει τοῦ βιβλίου, περί τε τῶν κατὰ τὸν Βὴλ, καὶ τὸν δράκοντα ἀναγεγραμμένων, οὐδ᾽ αὐτῶν ἐν τῷ Δανιὴλ τῶν Ἑβραίων γεγραμμένων· ἀλλὰ καὶ περὶ ἄλλων μυρίων, ἃ κατὰ τὴν μετριότητα ἡμῶν τοῖς Ἑβραϊκοῖς συγκρίναντες ἀντιγράφοις τὰ ἡμέτερα, πολλαχοῦ εὕρομεν. Ἐν μὲν γὰρ αὐτῷ τῷ Δανιὴλ περὶ τῆς καμίνου τῆς καιομένης, τό· „πεπεδημένοι·“ [1]) εὕρομεν· ἐν δὲ τοῖς ἡμετέροις ἀντιγράφοις περισσεύοντα παρὰ τὰ ἐν τοῖς Ἑβραϊκοῖς ἔπη οὐκ ὀλίγα, ὧν ἀρχὴ κατὰ μέν τινα τῶν φερομένων ἐν ταῖς ἐκκλησίαις ἦν οὕτως· „προσηύξαντο Ἀνανίας, καὶ Ἀζαρίας, καὶ Μισαὴλ, καὶ ὕμνησαν τὸν κύριον·“ ἕως τοῦ· „εὐλογεῖτε πάντες οἱ σεβόμενοι κύριον τὸν Θεὸν τῶν Θεῶν. Ὑμνεῖτε καὶ ἐξομολογεῖσθε, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ εἰς τὸν αἰῶνα τῶν αἰώνων. Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα ὑμνούντων αὐτῶν, καὶ ἐθεώρει αὐτοὺς ζῶντας.“ Κατὰ δὲ ἕτερα· „καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς, ὑμνοῦντες τὸν Θεὸν, καὶ εὐλογοῦντες τὸν κύριον·“ ἕως τοῦ· „εὐλογεῖτε πάντες οἱ σεβόμενοι τὸν κύριον τὸν Θεὸν τῶν Θεῶν. Ὑμνεῖτε καὶ ἐξομολογεῖσθε, ὅτι εἰς πάντας τοὺς αἰῶνας τὸ ἔλεος αὐτοῦ.“ Συνῆπτο δὲ ἐν τοῖς Ἑβραϊκοῖς τό· „καὶ [2]) οἱ ἄνδρες ἐκεῖνοι οἱ τρεῖς Σεδρὰχ, Μισὰχ, Ἀβδενεγὼ, ἔπεσον εἰς μέσον τοῦ πυρὸς πεπεδημένοι·“ τό τε· „ὁ [3]) βασιλεὺς ὁ Ναβου-

in Codd. (nec non edd.) Hoeschelii et Wetstenii omissa est. R. — Wetst. ad marginem: „forte legendum: τοιαῦτά ἐστιν.“

[1]) Dan. III, 23.

[2]) Cfr. Dan. III, 23. [3]) Cfr. Dan. III, 24.

χοδονόσορ ἐθαύμασε, καὶ ἀνέστη ἐν σπουδῇ, καὶ ἀπεκρίθη, καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ.“ Οὕτω γὰρ Ἀκύλας δουλεύων τῇ ἑβραϊκῇ λέξει ἐκδέδωκεν εἰπών· φιλοτιμότερον πεπιστευμένος παρὰ Ἰουδαίοις [1]) ἡρμηνευκέναι τὴν γραφήν· ᾧ μάλιστα εἰώθασιν οἱ ἀγνοοῦντες τὴν Ἑβραίων διάλεκτον χρῆσθαι, ὡς πάντων μᾶλλον ἐπιτετευγμένῳ. Τὰ δὲ παρ' ἡμῖν ἀντίγραφα, ὧν καὶ τὰς λέξεις ἐξεθέμην, τὸ μὲν ἦν κατὰ τοὺς ἑβδομήκοντα· τὸ δὲ ἕτερον κατὰ Θεοδοτίωνα· καὶ ὥσπερ παρ' ἀμφοτέροις ἔκειτο τὸ περὶ τὴν Σωσάνναν, ὡς σὺ φῄς, πλάσμα, καὶ αἱ τελευταῖαι ἐν τῷ Δανιὴλ περικοπαί· [2]) οὕτω καὶ ταῦτα ἐν ἔπεσιν, ὡς στοχασμῷ εἰπεῖν, τυγχάνοντα διακοσίοις, καὶ πρός.

3. Καὶ ἐν ἄλλοις δὲ πολλοῖς ἁγίοις βιβλίοις εὕρομεν, πῇ μὲν πλείονα παρ' ἡμῖν κείμενα, ἢ παρ' Ἑβραίοις· πῇ δὲ λείποντα. Παραδείγματος δὲ ἕνεκεν, ἐπεὶ μὴ πάντα οἷόν τέ ἐστι περιλαβεῖν, [3]) ὀλίγα ἐκθησόμεθα. Οἷον, ἐκ τῆς Ἐσθὴρ οὔτε ἡ τοῦ Μαρδοχαίου εὐχή, οὔτε ἡ τῆς Ἐσθήρ, οἰκοδομῆσαι δυνάμεναι [4]) τὸν ἐντυγχάνοντα, παρ' Ἑβραίοις φέρονται· ἀλλ' [5]) οὐδὲ αἱ ἐπιστολαί· ἀλλ' οὐδὲ ἡ τῷ Ἀμμὰν ἐπὶ καθαιρέσει τοῦ τῶν Ἰουδαίων ἔθνους γεγραμμένη, οὐδὲ ἡ τοῦ Μαρδοχαίου ἐξ ὀνόματος Ἀρταξέρξου ἀπολύουσα τοῦ θανάτου τὸ ἔθνος. Ἀλλὰ καὶ ἀπὸ τοῦ Ἰώβ, τὰ ἀπὸ τοῦ· „γέγραπται [6]) δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι, μεθ' ὧν ὁ κύ-

---

[1]) Sic recte Cod. Reg., male autem Wetstenius: „παρὰ Ἰουδαίους.“ R.

[2]) Cod. Wetst. mendose: „περικόπομεν.“ R. — Recte Wetst. ad marginem: „lege: περικοπαί.“

[3]) Patricius Junius: „παραλαβεῖν.“

[4]) West. in textu: „δυνάμενα,“ ad marg. vero: „lege: δυνάμεναι.“

[5]) Patricius Junius: „ἀλλ' οὐδὲ αἱ ἐπιστολαί, οὐδὲ ἡ τοῦ Ἀμμάν.“

[6]) Job. XLII, 17.

ριος ἀνίστησιν·" ἄχρι [1]) τέλους· οὐ κεῖται παρὰ τοῖς Ἑβραίοις· διόπερ οὐδὲ παρὰ τῷ Ἀκύλᾳ· παρὰ δὲ τοῖς ἑβδομήκοντα, καὶ Θεοδοτίωνι τὰ ἰσοδυναμοῦντα ἀλλήλοις. Καὶ ἄλλα δὲ μυρία εὕρομεν ἐν τῷ Ἰὼβ, καὶ κατ' ὀλίγον, καὶ ἐπὶ πλέον [2]) ἐν τοῖς ἡμετέροις ἀντιγράφοις, ἢ [3]) ἐν τοῖς παρὰ Ἰουδαίοις· κατ' ὀλίγον μὲν, ὅτε „ἀνιστάμενος [4]) τὸ πρωῒ προσέφερε περὶ αὐτῶν [5]) θυσίας, κατὰ τὸν ἀριθμὸν αὐτῶν," τό· „μόσχον [6]) ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν." Καὶ ὅτε „ἦλθον [7]) οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον τοῦ [8]) Θεοῦ, καὶ ὁ διάβολος ἦλθε μετ' αὐτῶν," τό· „περιελθὼν [9]) τὴν γῆν καὶ ἐμπεριπατήσας ἐν αὐτῇ." Ἔτι δὲ οὐκ ἦν παρ' Ἑβραίοις μετὰ τό· „ὁ [10]) κύριος ἔδωκεν, ὁ [11]) κύριος ἀφείλετο·" „ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο." Πλείονα δὲ ἐν τοῖς ἡμετέροις παρὰ τὰ ἑβραϊκὰ, ὅτε εἶπε τῷ Ἰὼβ [12]) ἡ γυνὴ αὐτοῦ, ἀπὸ τοῦ· „μέχρι [13]) τίνος καρτερήσεις; λέγων· ἰδοὺ, ἀναμένω χρόνον ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου," ἕως τοῦ· „ἵνα [14]) ἀναπαύσωμαι τῶν μόχθων μου, καὶ τῶν ὀδυνῶν, αἵ με νῦν συνέχουσι." Μόνον γὰρ τὰ ῥητὰ τῆς γυναικὸς ἀναγέγραπται, τό· „ἀλλ' [15]) εἰπόν τι ῥῆμα πρὸς κύριον, καὶ τελεύτα."

---

[1]) Patricius Junius: „μέχρι τέλους."

[2]) Patric. Junius: „πλεῖον."

[3]) Cod. Regius: „ἢ ἐν τοῖς παρὰ Ἰουδαίοις." Wetstenius (in textu): „παρὰ τὰ Ἰουδαίοις." Ruaeus. — Wetst. recte ad marginem: „lege: ἢ ἐν τοῖς παρὰ Ἰουδαίοις."

[4]) Cfr. Job. I, 5. [5]) Patricius Junius: „αὐτό."

[6]) Job. I, 5. [7]) Cfr. Job. I, 6.

[8]) Patric. Junius: „τοῦ κυρίου."

[9]) Cfr. Job. I, 7. [10]) Cfr. Job. I, 21.

[11]) Patric. Junius: „καὶ ὁ κύριος" κτλ.

[12]) Wetstenii Cod. (itemq. ed. Wetst. in textu) corrupte habet: „υἱῷ." R. — Wetst. recte ad marginem: „lege: Ἰώβ."

[13]) Job. II, 9. [14]) Job. II, 9. [15]) Cfr. Job. II, 9.

4. Πάλιν τε αὖ πλεῖστά τε ὅσα διὰ μέσου ὅλου τοῦ Ἰὼβ παρ' Ἑβραίοις μὲν κεῖται, παρ' ἡμῖν δὲ οὐχί· καὶ πολλάκις μὲν ἔπη [1]) τέσσαρα ἢ τρία· ἔσθ' ὅτε δὲ καὶ δεκατέσσαρα καὶ [2]) δεκαεννέα καὶ δεκαέξ. Καὶ τί με δεῖ καταλέγειν, ἃ μετὰ πολλοῦ καμάτου ἀνελεξάμεθα, ὑπὲρ τοῦ μὴ λανθάνειν [3]) ἡμᾶς τὴν διαφορὰν τῶν παρὰ Ἰουδαίοις καὶ ἡμῖν ἀντιγράφων; Πολλὰ δὲ τοιαῦτα καὶ ἐν τῷ Ἱερεμίᾳ κατενοήσαμεν, ἐν ᾧ καὶ πολλὴν μετάθεσιν καὶ ἐναλλαγὴν τῆς λέξεως τῶν προφητευομένων εὕρομεν. Καὶ ἐν τῇ Γενέσει δὲ τό· „εἶδεν [4]) ὁ Θεὸς, ὅτι καλόν·" ἐπὶ τῷ γενέσθαι στερέωμα, παρ' Ἑβραίοις οὐχ εὑρίσκεται· καὶ πρόβλημα δέ ἐστι παρ' αὐτοῖς, οὐ τὸ τυχὸν τοῦτο. Καὶ ἄλλα δέ ἐστιν εὑρεῖν ἐν τῇ Γενέσει, οἷς σημεῖα παρεθήκαμεν, τοὺς καλουμένους παρ' Ἕλλησιν ὀβελούς· [5]) ἵν' ἡμῖν γνώριμον ᾖ τὸ τοιοῦτον· ὡς πάλιν ἀστερίσκους, τοῖς κειμένοις μὲν ἐν τῷ Ἑβραϊκῷ, παρ' ἡμῖν δὲ μὴ εὑρισκομένοις. Τί δέ με δεῖ λέγειν περὶ τῆς Ἐξόδου, ἔνθα τὰ περὶ τὴν σκηνὴν, καὶ τὴν αὐλὴν αὐτῆς, καὶ τὴν κιβωτὸν, καὶ τὰ ἐνδύματα τοῦ ἀρχιερέως, καὶ τῶν ἱερέων, ἐπὶ πολὺ παρήλλακται, ὡς μηδὲ τὴν διάνοιαν παραπλησίαν εἶναι δοκεῖν; Ὥρα [6]) τοίνυν, εἰ μὴ λανθάνει

---

[1]) Recte Cod. Regius: „ἔπη," mendose autem Wetstenius (in textu): „ἐπί." R. — Wetst. ad marg. atque in notis: „lege: ἔπη."

[2]) Wetsten. habet: „καὶ δεκαεννέα καὶ ἕξ." Patric. Junius omittit: „καὶ δεκαεννέα," legit vero: „καὶ δεκαέξ." Cod. Reg. ut in nostro textu. R.

[3]) Patric. Junius: „διαλανθάνειν."

[4]) Gen. I, 8.

[5]) Cfr. Orig. Commentar. in Matth. Tom. XV.

[6]) Sic recte habet Cod. Regius; Cod. Wetstenian. vero: „Ὅρα τοίνυν, εἰ μὴ λανθάνει ἡμᾶς, τὰ τοιαῦτα" κτλ. R.

ἡμᾶς τὰ τοιαῦτα, ἀθετεῖν [1]) τὰ [2]) ἐν ταῖς ἐκκλησίαις φερόμενα ἀντίγραφα, καὶ νομοτεθῆσαι τῇ ἀδελφότητι, ἀποθέσθαι μὲν τὰς παρ' αὐτοῖς ἐπιφερομένας ἱερὰς βίβλους, κολακεύειν δὲ Ἰουδαίους, καὶ πείθειν, ἵνα μεταδῶσιν ἡμῖν τῶν καθαρῶν, καὶ μηδὲν πλάσμα ἐχόντων. Ἆρα δὲ καὶ ἡ πρόνοια ἐν ἁγίαις γραφαῖς δεδωκυῖα πάσαις [3]) ταῖς Χριστοῦ ἐκκλησίαις οἰκοδομὴν, οὐκ ἐφρόντισε τῶν [4]) τιμῆς ἀγορασθέντων, ὑπὲρ [5]) ὧν Χριστὸς ἀπέθανεν· οὗ [6]) υἱοῦ ὄντος οὐκ ἐφείσατο ὁ Θεὸς, ἡ ἀγάπη, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, ἵνα σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσηται;

5. *Πρὸς ταῦτα δὲ σκόπει, εἰ μὴ καλὸν μεμνῆσθαι τοῦ· „οὐ [7]) μεταθήσεις [8]) ὅρια αἰώνια, ἃ ἔστησαν [9]) οἱ πρότεροί σου;" Καὶ ταῦτα δέ φημι, οὐχὶ [10]) ὄκνῳ [11]) τοῦ ἐρευνᾷν καὶ τὰς κατὰ [12]) Ἰουδαίους γραφὰς, καὶ πάσας τὰς ἡμετέρας ταῖς ἐκείνων συγκρίνειν, καὶ ὁρᾷν τὰς ἐν αὐταῖς [13]) διαφοράς. Εἰ μὴ φορτικὸν γοῦν εἰπεῖν, ἐπὶ πολὺ τοῦτο, ὅση δύναμις, πεποιήκαμεν· γυμνάζοντες αὐτῶν τὸν νοῦν ἐν πάσαις ταῖς ἐκδόσεσι*

---

1) Edd. W. et R. „*ἀτεθεῖν.*"

2) Sic recte Cod. Regius; Cod. Wetstenian. (itemq. ed. Wetst. in textu) vero: „*τὰ παρὰ ταῖς.*" R. — Ed. Wetst. ad marginem: „lege: *τὰ ἐν ταῖς.*"

3) Ita Cod. Regius, Cod. Wetstenian. (itemq. ed. Wetst. in textu): „*πᾶσα, ἐν ταῖς*" *κτλ.* R. — Ed. Wetst. ad marginem: „Alias: *πάσαις ταῖς*" *κτλ.*

4) Cfr. I Cor. VI, 20. 5) Cfr. Rom. V, 8.

6) Cfr. Rom. VIII, 32. 7) Cfr. Prov. XXII, 28.

8) Wetst. ad marginem: „Alias: *μέταιρε.*"

9) Wetst. ad marginem: „Alias: „*ἔθεντο οἱ πατέρες σου.*"

10) Wetst. in textu: „*οὐχίς,*" ad marg. vero: „lege: *οὐχί.*"

11) Wetst. ad marginem: „Alias: *ὀκνῶν.*"

12) Wetstenius: „*κατὰ Ἰουδαίων.*"

13) Wetst. in textu: „*αὐτοῖς,*" ad marg. vero: „Alias: *αὐταῖς.*"

καὶ ταῖς διαφοραῖς αὐτῶν,[1]) μετὰ τοῦ ποσῶς μᾶλλον ἀσκεῖν τὴν ἑρμηνείαν τῶν ἑβδομήκοντα· ἵνα μή τι παραχαράττειν δοκοίημεν ταῖς ὑπὸ τὸν οὐρανὸν ἐκκλησίαις, καὶ προφάσεις διδῶμεν τοῖς ζητοῦσιν ἀφορμὰς, ἐθέλουσι τοὺς ἐν μέσῳ συκοφαντεῖν, καὶ τῶν διαφαινομένων ἐν τῷ κοινῷ κατηγορεῖν. Ἀσκοῦμεν δὲ μὴ ἀγνοεῖν καὶ τὰς παρ' ἐκείνοις· ἵνα πρὸς Ἰουδαίους διαλεγόμενοι, μὴ προφέρωμεν αὐτοῖς τὰ [2]) μὴ κείμενα ἐν τοῖς ἀντιγράφοις αὐτῶν, καὶ ἵνα συγχρησώμεθα τοῖς φερομένοις παρ' ἐκείνοις· εἰ καὶ ἐν τοῖς ἡμετέροις οὐ κεῖται βιβλίοις. Τοιαύτης γὰρ οὔσης ἡμῶν τῆς πρὸς αὐτοὺς ἐν ταῖς ζητήσεσι παρασκευῆς, οὐ καταφρονήσουσιν, οὐδ', ὡς ἔθος αὐτοῖς, γελάσονται τοὺς ἀπὸ τῶν ἐθνῶν πιστεύοντας, ὡς τ' ἀληθῆ καὶ [3]) παρ' αὐτοῖς ἀναγεγραμμένα ἀγνοοῦντας.[4]) Ταῦτα μὲν οὖν εἰρήσθω πρὸς τὸ μὴ φέρεσθαι παρ' Ἑβραίοις τὰ περὶ Σωσάννης.

6. Ἴδωμεν δὲ καὶ ἃ προσφέρεις τῷ λόγῳ ἐγκλήματα. Καὶ πρῶτόν γε ἀρξώμεθα ἀπὸ τοῦ δυνηθέντος ἂν δυσωπῆσαι [5]) πρὸς τὸ μὴ παραδέξασθαι τὴν [6]) ἱστορίαν· ὅπερ ἐστὶ τὸ περὶ τὴν παρωνυμίαν πρίνου μὲν πρὸς πρίσιν, σχίνου δὲ πρὸς σχίσιν· περὶ οὗ σὺ μὲν ἀπεφήνω, ὡς καταλαβὼν τίνα τρόπον ἐν μὲν ἑλληνικαῖς φωναῖς τοιαῦτα ὁμοφωνεῖν συμβαίνει, ἐν δὲ τῇ ἑβραΐδι τῷ [7]) παντὶ διέστηκεν· ἐγὼ δὲ ἔτι ἀμφι-

---

[1]) Wetst. in textu: „αὐτῆς," ad marg. vero: „Alias: αὐτῶν."

[2]) Wetstenius: „τὰ προκείμενα ἐν τοῖς."

[3]) Deest „καί" in ed. Wetstenii.

[4]) Wetst. in textu: „ἀγνοοῦντες," ad marg. vero: „lege: ἀγνοοῦντας."

[5]) Wetst. in textu: „δυσωπῆσθαι," ad marginem: „lege: δυσωπεῖσθαι."

[6]) Wetst. in textu: „τὴν προφητείαν," ad marg. vero: „Alias: τὴν ἱστορίαν."

[7]) Wetst. in textu: „τὸ πάντῃ," ad marginem: „forte legendum: τὰ πάντῃ."

βάλλω· ἐπείπερ φροντίσας τῶν κατὰ τὸν τόπον, τῷ καὶ αὐτὸς ἠπορηκέναι ἐν αὐτοῖς, οὐκ ὀλίγοις Ἑβραίοις ἀνεθέμην πυνθανόμενος, πῶς παρ' αὐτοῖς ὀνομάζεται πρῖνος, καὶ πῶς λέγουσι τὸ πρίζειν· ἔτι δὲ εἰς τί μεταλαμβάνουσι[1]) *τὴν σχῖνον τὸ φυτὸν, καὶ πῶς τὸ σχίζειν ὀνομάζουσιν. Οἱ δὲ τὴν ἑλληνικὴν ἔφασκον ἀγνοεῖν φωνὴν τὴν πρίνου, καὶ τὴν σχίνου· ἀπῄτουν δὲ αὐτοῖς δειχθῆναι τὰ δένδρα, ἵν' εἰδεῖεν ποίας ἐπὶ τούτων αὐτοὶ*[2]) *τάσσουσι φωνάς. Καὶ, φίλη γὰρ ἡ ἀλήθεια, οὐκ ἠπόρησα αὐτοῖς ὄψει παραστῆσαι τὰ ξύλα. Ἄλλος δὲ ἔφασκε, τὰ μὴ ὀνομασθέντα τῶν γραφῶν που οὐκ ἔχειν διαβεβαιώσασθαι, ὅπως ἑβραϊστὶ λέγεται· προπετὲς δὲ εἶναι, τὸν*[3]) *ἀπορήσαντα φωνῇ τῇ συριακῇ χρήσασθαι ἀντὶ τῆς*[4]) *ἑβραΐδος·*[5]) *καὶ ἔλεγε, καὶ παρὰ τοῖς πάνυ σοφοῖς ἐνίοτε λέξεις τινὰς ζητεῖσθαι. Εἰ μὲν οὖν, φησὶ, ἔχεις τι παραστῆσαι τὴν σχῖνον ὅπως ποτὲ ὀνομασθεῖσαν ἔν τινι γραφῇ, ἢ τὴν πρῖνον, ἐκεῖθεν ἂν εὕροιμεν τὸ ζητούμενον, καὶ τὴν παρ' αὐτὰ παρωνυμίαν· εἰ δὲ μηδαμοῦ ὠνομάσθη, καὶ ἡμᾶς διαλανθάνει τὸ τοιοῦτον. Τούτων οὖν ὅσον ἐπὶ μὴ ἱστορίᾳ ὑπὸ Ἑβραίων, οἷς συνέμιξα, εἰρημένων, ἐγὼ μὲν εὐλαβῶς ἔχω ἀποφήνασθαι, πότερον καὶ παρ' Ἑβραίοις ἡ ἰσοδυναμία τῶν κατὰ ταῦτα παρωνυμιῶν σώζεται, ἢ οὔ. Σὺ δὲ ὅπως διεβεβαιώσω, αὐτὸς οἶδας ἴσως.*

7. *Μέμνημαι μέντοι γε φιλομαθεῖ Ἑβραίῳ, καὶ χρηματίζοντι*[6]) *παρ' αὐτοῖς σοφοῦ υἱῷ, ἀνατραφέντι*

---

[1]) Wetst. in textu: „*παραλαμβάνουσι,*" ad marg. vero: „Alias: *μεταλαμβάνουσιν.*"

[2]) Wetstenius: „*αὐτοῖς.*"

[3]) Wetst. in textu: „*τό,*" ad marg. autem: „lege: *τόν.*"

[4]) W. in textu: „*τοῖς,*" ad marg. vero: „lege: *τῆς.*"

[5]) W. ad marginem: „Alias: *ἑβραϊκῆς.*" R. in notis: „Cod. Basileensis: *ἑβραϊκῆς.*"

[6]) Legendum puto: „*χρηματίζοντος.*" Ruaeus.

ἐπὶ [1]) τὸ διαδέξασθαι τὸν πατέρα, συμμίξας περὶ πλειόνων· ἀφ᾽ οὗ, ὡς μὴ ἀθετουμένης τῆς περὶ Σωσάννης ἱστορίας, ἐμάνθανον καὶ τὰ τῶν πρεσβυτέρων ὀνόματα ὡς παρὰ τῷ Ἱερεμίᾳ κείμενα, τοῦτον ἔχοντα τὸν τρόπον· „ποιήσαι [2]) σε κύριος, ὡς Σεδεκίαν ἐποίησε, καὶ ὡς Ἀχιὰβ, οὓς ἀπετηγάνισε βασιλεὺς Βαβυλῶνος ἐν πυρὶ δι᾽ ἣν ἐποίησαν ἀνομίαν ἐν Ἰσραήλ.“ Πῶς ὁ μὲν ὑπ᾽ ἀγγέλου πρίζεται· ὁ δὲ σχίζεται; Λεκτέον, οὐ κατὰ τὸν ἐνεστῶτα αἰῶνα ταῦτα αὐτοῖς προφητεύεσθαι· ἀλλ᾽ εἰς τὴν ὑπὸ Θεοῦ μετὰ τὴν ἐντεῦθεν ἔξοδον κρίσιν. Ὡς γὰρ τὸν πονηρὸν οἰκονόμον, λέγοντα· „χρονίζει [3]) μου ὁ κύριος ἔρχεσθαι·“ καὶ διὰ τοῦτο μέθαις σχολάζοντα, καὶ ἐσθίοντα [4]) καὶ πίνοντα μετὰ τῶν μεθυόντων, καὶ τύπτοντα τοὺς συνδούλους, ὁ κύριος ἐλθὼν [5]) „διχοτομήσει, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει·“ οὕτω καὶ τούτους πρεσβυτέρους μὲν χρηματίσαντας, κακῶς δὲ τὴν οἰκονομίαν οἰκονομήσαντας, ἀναλόγως τῷ ἐκεῖ διχοτομεῖσθαι τὸν [6]) μοχθηρὸν οἰκονόμον, ἄγγελοι ἐπὶ τῶν κολάσεων τεταγμένοι τινὲς ταῦτα διαθήσουσι· καὶ ὁ μὲν σχίσει τὸν πεπαλαιωμένον [7]) ἡμερῶν κακῶν, κρίναντα [8]) κρίσεις ἀδίκους, καὶ τοὺς μὲν ἀθῴους κατακρίναντα, ἀπολύοντα δὲ τοὺς αἰτίους· ὁ δὲ πρίσει ὡς σπέρμα [9]) Χαναὰν ὑπάρχοντα, καὶ οὐκ

---

[1]) Wetstenius: „ἐπὶ τῷ.“

[2]) Jerem. XXIX, 22. 23.

[3]) Cfr. Matth. XXIV, 48. coll. Luc. XII, 45.

[4]) Cfr. Matth. XXIV, 49. coll. Luc. XII, 45.

[5]) Cfr. Matth. XXIV, 50. 51. coll. Luc. XII, 46.

[6]) Wetstenius: „τῷ μοχθηρῷ οἰκονόμῳ· ἄγγελοι γὰρ, ἐπὶ τῶν κολάσεων διατεταγμένοι, ταῦτα τούτους διαθήσουσι.“ Sed Codd. Reg. et Basileensis ut in nostro textu. R.

[7]) Cfr. Hist. Sus. vers. 52. (Dan. XIII, 52.)

[8]) Cfr. Hist. Sus. vers. 53. (Dan. XIII, 53.)

[9]) Cfr. Hist. Sus. vers. 56. (Dan. XIII, 56.)

Ἰούδα, τὸν ὑπὸ τοῦ κάλλους ἐξηπατημένον, καὶ ὑπὸ τῆς ἐπιθυμίας διαστραφέντα τὴν καρδίαν.

8. Καὶ ἕτερον δὲ οἶδα Ἑβραῖον, περὶ τῶν πρεσβυτέρων τούτων τοιαύτας παραδόσεις φέροντα, ὅτι τοῖς ἐν τῇ αἰχμαλωσίᾳ ἐλπίζουσιν διὰ τῆς Χριστοῦ ἐπιδημίας ἐλευθερωθήσεσθαι ἀπὸ τῆς ὑπὸ τοῖς ἐχθροῖς δουλείας, προσεποιοῦντο οἱ πρεσβύτεροι οὗτοι ὡς εἰδότες τὰ περὶ Χριστοῦ σαφηνίζειν· καὶ ἑκάτερος αὐτῶν ἀνὰ μέρος ᾗ περιετύγχανε γυναικὶ, καὶ ἣν διαφθεῖραι ἐβούλετο, ἐν ἀποῤῥήτῳ δῆθεν ἔφασκεν, ὡς ἄρα δέδοται αὐτῷ ἀπὸ Θεοῦ σπεῖραι τὸν Χριστόν· εἶτ' ἀπατωμένη[1]) τῇ ἐλπίδι τοῦ γεννῆσαι τὸν Χριστὸν ἡ γυνὴ, ἐπεδίδου ἑαυτὴν τῷ ἀπατῶντι· καὶ οὕτως ἐμοιχῶντο τὰς γυναῖκας τῶν πολιτῶν οἱ πρεσβύτεροι, Ἀχιὰβ καὶ Σεδεκίας. Διὸ καλῶς ὑπὸ τοῦ Δανιὴλ ὁ μὲν εἴρηται „πεπαλαιωμένος[2]) ἡμερῶν κακῶν·“ ὁ δὲ ἤκουσε τό· „οὕτως[3]) ἐποιεῖτε ταῖς θυγατράσιν Ἰσραὴλ, κἀκεῖναι φοβούμεναι ὡμίλουν ὑμῖν· ἀλλ' οὐ θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν ἀνομίαν ὑμῶν.“ Τάχα γὰρ ἀπάτη καὶ φόβος δυνάμενα ἐν ταῖς γυναιξὶν, ἐποίει[4]) αὐτὰς παρέχειν ἑαυτῶν τὰ σώματα τοῖς λεγομένοις τούτοις πρεσβυτέροις.

9. Ἀλλ' εἰκὸς πρὸς ταῦτά σε ζητήσειν,[5]) τί δήποτε οὐ φέρεται παρ' αὐτοῖς ἐν τῷ Δανιὴλ ἡ ἱστορία, εἰ, ὡς φὴς, τοιαῦτα περὶ αὐτῆς οἱ σοφοὶ αὐτῶν παραδιδόασι. Λεκτέον δὲ πρὸς ταῦτα, ὅτι ὅσα δεδύνηνται τῶν περιεχόντων κατηγορίαν πρεσβυτέρων, καὶ ἀρχόν-

---

[1]) Wetst. in textu: „ἀπαντωμένη,“ in notis: „Leo Castrius legisse videtur: ἀπατωμένη.“ — R. in textu: „ἀπατωμένη,“ in notis: „Cod. Basileensis: ἀπατωμένη, et ita forte legendum, licet alii Codd. habeant: ἀπαντωμένη.“

[2]) Cfr. Hist. Sus. vers. 52. (Dan. XIII, 52.)

[3]) Hist. Sus. vers. 57. (Dan. XIII, 57.)

[4]) Wetst. in textu: „εἰ ποίει αὐτός,“ ad marginem: „forte legendum: ἐποίει αὐτάς.“

[5]) Mss. nostri: „ζητήσειν.“ Wetstenius: „ζητῆσαι.“ R.

των, καὶ κριτῶν, περιεῖλον ἀπὸ τῆς γνώσεως τοῦ λαοῦ· ὧν τινα σώζεται ἐν ἀποκρύφοις. Καὶ τούτου παράδειγμα δώσομεν τὰ περὶ τὸν Ἠσαΐαν ἱστορούμενα, καὶ ὑπὸ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς μαρτυρούμενα, ἐν οὐδενὶ τῶν φανερῶν βιβλίων γεγραμμένα· περὶ γὰρ τῶν προφητῶν διεξερχόμενος, καὶ ὧν πεπόνθασιν, ὁ τὴν πρὸς Ἑβραίους γράψας φησίν· „ἐλιθάσθησαν, [1]) ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον.“ Πευσόμεθα [2]) γὰρ, ἐπὶ τίνα ἀναφέρηται τό· „ἐπρίσθησαν·“ [3]) κατά τι ἔθος ἀρχαῖον οὐ μόνον ἑβραϊκὸν, ἀλλὰ καὶ ἑλληνικὸν, πληθυντικῶς λεγόμενον περὶ [4]) ἑνός. Σαφὲς δ' ὅτι αἱ παραδόσεις λέγουσι πεπρίσθαι [5]) Ἠσαΐαν τὸν προφήτην· καὶ ἔν τινι ἀποκρύφῳ τοῦτο φέρεται· ὅπερ τάχα ἐπίτηδες [6]) ὑπὸ Ἰουδαίων ῥεραδιούργηται, λέξεις τινὰς τὰς μὴ πρεπούσας [7]) παρεμβεβληκότων τῇ γραφῇ, ἵν' [8]) ἡ ὅλη ἀπιστηθῇ. Ἀλλ' εἰκός τινα θλιβόμενον ἀπὸ τῆς εἰς ταῦτα ἀποδείξεως, συγχρήσασθαι [9]) τῷ βουλήματι τῶν ἀθετούντων τὴν ἐπιστολὴν, ὡς οὐ Παύλῳ γεγραμμένην· πρὸς ὃν ἄλλων λόγων κατ' ἰδίαν χρήζομεν εἰς ἀπόδειξιν τοῦ εἶναι Παύλου τὴν ἐπιστολήν. Παραθήσομαι οὖν ἐπὶ τοῦ παρόντος ἀπὸ τοῦ εὐαγγελίου τὰ ὑπὸ Ἰησοῦ Χριστοῦ περὶ τῶν προφητῶν μαρτυρούμενα, καὶ ἱστορίαν ὑπ' αὐτοῦ μὲν λεγομένην· ἐν δὲ ταῖς παλαιαῖς γραφαῖς μὴ φερομένην· ἐπεὶ καὶ αὐτὴ καταγορίαν περιέχει τῶν ἀνόμων ἐν τῷ Ἰσραὴλ

---

[1]) Cfr. Hebr. XI, 37.

[2]) Cod. Regius: „πευσώμεθα.“ R.

[3]) Hebr. XI, 37.

[4]) Wetstenius: „περὶ ἑνὸς σαφὲς, διότι“ κτλ.

[5]) Cfr. Orig. Comm. in Matth. Tom. XI.

[6]) Edd. W. et R. ut in nostro textu: „ἐπίτηδες.“

[7]) Wetstenius: „προσηκούσας.“

[8]) Wetstenius: „ἵν' ὅλη“ κτλ.

[9]) R. in notis: „lego: συγχρήσεσθαι.“

κριτῶν. Ἔχει δὲ οὕτως ἡ ὑπὸ τοῦ σωτῆρος εἰρημένη λέξις· „οὐαὶ [1]) ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταὶ, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα [2]) τῶν δικαίων, καὶ λέγετε· εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν. Ὥστε [3]) μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. Ὄφεις, γεννήματα ἐχιδνῶν· πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; Διὰ τοῦτο, ἰδοὺ, ἀποστέλλω πρὸς ὑμᾶς προφήτας, καὶ σοφοὺς, καὶ γραμματεῖς· ἐξ αὐτῶν ἀποκτενεῖτε, καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν· ὅπως ἔλθῃ [4]) ἐφ᾽ ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην.“ Καὶ τὸ ἑξῆς δὲ τούτων, οὐκ ἀπᾴδει τῶν προκειμένων, οὕτως ἔχον· „Ἱερουσαλὴμ, [5]) Ἱερουσαλὴμ, ἡ ἀποκτείνασα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις συνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν

---

[1]) Cfr. Matth. XXIII, 29—36.

[2]) Wetsten. et Cod. Basileensis: „μνήματα τῶν δικαίων, καὶ λέγετε· εἰ ἤμεθα — πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα.“ R. — Wetst. ad marginem: „Alias: μνημεῖα τῶν δικαίων, καὶ λέγετε· εἰ ἦμεν — πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν.“

[3]) Wetst. in textu: „ὡς,“ ad marg. vero: „Alias: ὥστε.“

[4]) Wetst. in textu: „ἔλθῃ,“ in margine: „Alias: ἔλθῃ.“

[5]) Cfr. Matth. XXIII, 37. 38.

ἔρημος.“ Καὶ ἴδωμέν γε, εἰ μὴ λεκτέον ἐν τούτοις, τὸν μὲν σωτῆρα ἀληθεύειν, οὐχ εὑρίσκεσθαι δὲ τὰς γραφὰς, ὅσαι δηλοῦσι τὰ ὑπὸ τοῦ σωτῆρος ἱστορούμενα· οἱ γὰρ οἰκοδομοῦντες [1]) τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμοῦντες τὰ μνημεῖα τῶν δικαίων, καταγνόντες τῶν ὑπὸ τῶν πρεσβυτέρων εἰς τοὺς δικαίους, καὶ εἰς τοὺς προφήτας τετολμημένων, φασίν· „εἰ [2]) ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.“ Λεγέτω τις οὖν ἡμῖν, ποίων προφητῶν τῷ αἵματι; Ποῦ γὰρ ἀναγέγραπταί τι τῶν τοιούτων περὶ Ἠσαΐου, ἢ Ἱερεμίου, ἢ τινος τῶν δώδεκα, ἢ τοῦ Δανιήλ; Ἀλλὰ καὶ περὶ τοῦ Ζαχαρίου, [3]) υἱοῦ Βαραχίου, φονευθέντος μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἀπὸ μὲν Ἰησοῦ μεμαθήκαμεν, ἀπ᾽ οὐδεμιᾶς δὲ ἄλλης γραφῆς ἔγνωμεν. Διὸ οὐδὲν οἶμαι ἄλλο οἰκονομεῖσθαι, ἢ τοὺς νομιζομένους σοφοὺς, καὶ ἄρχοντας, καὶ πρεσβυτέρους τοῦ λαοῦ ὑπεξελεῖν τὰ τοιαῦτα, ὅσα περιεῖχεν αὐτῶν κατηγορίαν παρὰ τῷ λαῷ. Οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ ἀληθῆ τυγχάνουσαν τὴν περὶ Σωσάνναν ἐπιβουλευθεῖσαν ὑπὸ ἀποκλάστων πρεσβυτέρων ἱστορίαν, οἱ μὴ μακρὰν τυγχάνοντες τῆς προαιρέσεως τῶν πρεσβυτέρων ἐκείνων, ἐξέκλεψαν, καὶ ὑφεῖλον ἀπὸ τῶν γραφῶν. Καὶ ἐν ταῖς Πράξεσι δὲ τῶν ἀποστόλων ὁ Στέφανος μαρτυρῶν [4]) ἐπὶ πολλοῖς, καὶ ταῦτα λέγει· „τίνα [5]) τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου· οὗ

---

[1]) Wetst. in textu: „οἰκοδομοῦντα,“ ad marg. vero: „lege: οἰκοδομοῦντες.“ — Cfr. Matth. XXIII, 29.

[2]) Matth. XXIII, 30. — Wetst. et Cod. Basileensis: „εἰ ἤμεθα ἐν ταῖς ἡμέραις — ἡμῶν, οὐκ ἂν ἤμεθα.“

[3]) Cfr. Orig. Comm. in Matth. Tom. XI.

[4]) Wetstenius: „μαρτυρῶν, ταῦτα λέγει ἐπὶ πολλοῖς.“ Sed Cod. Reg. ut in nostro textu. R.

[5]) Cfr. Act. VII, 52.

νῦν ὑμεῖς προδόται καὶ φονεῖς ἐγένεσθε.“ Ἀληθεύειν μὲν γὰρ τὸν Στέφανον, πᾶς ὁστισοῦν τῶν προσιεμένων τὰς Πράξεις τῶν ἀποστόλων ὁμολογήσει· ἀποδεῖξαι δὲ καὶ ἀπὸ τῆς παλαιᾶς διαθήκης, πῶς εὐλόγως μέμφεται τοῖς πατράσι τῶν εἰς τὸν Ἰησοῦν ἀπιστούντων, ὡς διώξασι τοὺς προφήτας καὶ ἀποκτείνασιν, οὐ δυνατὸν ἀπὸ τῶν φερομένων βιβλίων τῆς καινῆς[1]) *διαθήκης. Καὶ ὁ Παῦλος ἐν τῇ προτέρᾳ τῆς*[2]) *πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς ταῦτα περὶ Ἰουδαίων μαρτυρῶν, φησίν· „ὑμεῖς*[3]) *γὰρ μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ· ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ὑπὸ*[4]) *τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων· τῶν καὶ τὸν κύριον ἀποκτεινάντων, καὶ τοὺς προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων,*[5]) *καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων· κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσι.“ Καὶ οἶμαι δὲ ἀποδεδειχέναι ἐν τοῖς προκειμένοις, ὅτι οὐδὲν ἄτοπόν*[6]) *ἐστι, γεγονέναι μὲν τὴν ἱστορίαν, καὶ τὴν μετὰ πολλῆς ἀκολασίας ὠμότητα*[7]) *τετολμῆσθαι τοῖς τότε πρεσβυτέροις κατὰ τῆς Σωσάννης, καὶ γεγράφθαι μὲν προνοίᾳ τοῦ πνεύματος, ὑπεξαιρεῖσθαι δὲ, ὡς ἂν εἴποι τὸ πνεῦμα, ὑπὸ τῶν ἀρχόντων*[8]) *Σοδόμων.*

10. *Πρὸς τούτοις ἔφασκες, ὅτι ὁ Δανιὴλ ὑπὸ μὲν*

---

[1]) W. et R. in textu: „*καινῆς*,“ R. tamen recte, ut videtur, in notis: „omnino legendum: *ἐκείνης*.“

[2]) Cod. Regius: „*τῆς πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς*.“ Apud Wetsten. deest: „*ἐπιστολῆς*.“ R.

[3]) Cfr. I Thess. II, 14—16.

[4]) Wetstenius: „*ἀπὸ τῶν ἰδίων*.“

[5]) Wetstenius: „*διωξάντων*.“

[6]) Wetst. in textu: „*σήστοπόν ἐστι*,“ ad marg. vero: „forte legendum: *ἄτοπόν ἐστι*, vel: *ἀσύστατόν ἐστι*.“

[7]) Wetstenius: „*ὠμότητά τε τολμῆσαι τοῖς τότε*“ *κτλ.*

[8]) Cfr. Jesai. I, 10.

τῆς γραφῆς ταύτης λέγεται πνεύματι ληφθεὶς ἐκβεβοηκέναι, ὡς ἀδίκως ἡ ἀπόφασις ἔχοι· [1]) ἡ δὲ φερομένη ὁμολογουμένως ὑπ' αὐτοῦ γραφὴ, ἄλλῳ τρόπῳ περιέχει αὐτὸν προφητεύοντα, τουτέστιν ὁράμασι, καὶ ὀνείροις, καὶ ἀγγέλου ἐπιφανείᾳ· οὐδαμοῦ δὲ ἐπιπνοίᾳ προφητικῇ. Σὺ δέ μοι ἔοικας μὴ πάνυ τετηρηκέναι τό· „πολυμερῶς [2]) καὶ πολυτρόπως πάλαι τὸν Θεὸν λελαληκέναι τοῖς πατράσιν ἐν τοῖς προφήταις,“ οὐ μόνον ἐν τοῖς πᾶσιν, ἀλλὰ καὶ ἐν τοῖς καθ' ἕνα. Παρατηρήσας δὲ εὑρήσεις τοῖς αὐτοῖς ἁγίοις καὶ ἐνύπνια γενόμενα θεῖα, καὶ ἐπιφανείας ἀγγελικὰς, καὶ ἐπιπνοίας. Ἀρκεῖ δὲ ἐπὶ τοῦ παρόντος μαρτυρίαις χρήσασθαι τοῖς περὶ τοῦ Ἰακὼβ [3]) γεγραμμένοις· ὃς περὶ μὲν θείων ἐνυπνίων τοιαῦτα διηγεῖται· „καὶ [4]) ἐγένετο, ἡνίκα ἐνεκίσσων τὰ πρόβατα, [5]) καὶ εἶδον ἐν τοῖς ὀφθαλμοῖς μου αὐτὰ ἐν ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι, καὶ οἱ κριοὶ ἀναβαίνοντες ἦσαν ἐπὶ τὰ πρόβατα, καὶ τὰς αἶγας, διάλευκοι, καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί. Καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ καθ' ὕπνον· Ἰακώβ. Ἐγὼ δὲ εἶπον· τί ἐστι; Καὶ εἶπεν· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους, καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα, καὶ τὰς αἶγας διαλεύκους, καὶ ποικίλους, καὶ σποδοειδεῖς [6]) ῥαντούς· ἑώρακα γὰρ, ὅσα σοι Λάβαν ποιεῖ. Ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ Θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι ἐκεῖ εὐχήν. Νῦν οὖν ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς

---

[1]) Cod. Basileensis: „ἔχῃ.“ R.

[2]) Cfr. Hebr. I, 1.

[3]) Wetst. in textu: „Ἰωακέμ,“ ad marg. vero: „lege: Ἰακώβ.“

[4]) Cfr. Gen. XXXI, 10—13.

[5]) Wetst. in textu: „πράγματα,“ ad marg. vero: „lege: πρόβατα.“

[6]) Wetst. in textu: „σποειδεῖς,“ ad marg. vero: „lege: σποδοειδεῖς.“ R. in textu: „ποδοειδεῖς.“

γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν τῆς [1]) γεννήσεώς σου.“ Περὶ δὲ ἐπιφανείας ὕπαρ κρείττονος ταῦτα περὶ αὐτοῦ εἴρηται· „ὑπελείφθη [2]) δὲ Ἰακὼβ μόνος· καὶ ἐπάλαιεν ἄνθρωπος μετ᾽ αὐτοῦ, ἕως πρωΐ. Εἶδε δὲ, ὅτι οὐ δύναται πρὸς αὐτὸν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ, ἐν τῷ παλαίειν αὐτὸν μετ᾽ αὐτοῦ. Καὶ εἶπεν αὐτῷ· ἀπόστειλόν [3]) με· ἀνέβη γὰρ ὁ ὄρθρος. Ὁ δὲ εἶπεν· οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς. Εἶπε δὲ αὐτῷ· τί τὸ ὄνομά σου; Ὁ δὲ εἶπεν· Ἰακώβ. Εἶπε δὲ αὐτῷ· οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ᾽ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατός. Ἠρώτησε δὲ Ἰακὼβ, καὶ εἶπεν· ἀνάγγειλόν [4]) μοι τὸ ὄνομά σου. Καὶ εἶπεν· ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; Καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, εἶδος Θεοῦ· εἶδον γὰρ Θεὸν πρόςωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. Ἀνέτειλε δὲ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ.“ Ὅτι δὲ καὶ ἐξ ἐπιπνοίας προφητεύει, δῆλον ἐκ τούτων· „ἐκάλεσε [5]) δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπεν· συνάχθητε, ἵνα [6]) ἀπαγγείλω ὑμῖν, τί ἀποβήσεται [7]) ὑμῖν ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν. Ἀθροίσθητε, [8]) καὶ ἀκούσατε υἱοὶ Ἰακώβ· ἀκούσατε [9]) Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν. Ῥουβὶμ πρωτότοκός μου, σὺ ἰσχύς μου, καὶ

---

[1]) Wetst. in textu: „τῆς γεννήσεως,“ ad marg. vero: „Alias: τῆς γεννήσεώς σου.“

[2]) Cfr. Gen. XXXII, 24—31.

[3]) Wetstenius: „ἀπόστειλόν μοι.“

[4]) Wetst. ad marginem: „Alias: ἀπάγγειλον.“

[5]) Cfr. Gen. XLIX, 1—4.

[6]) Ed. Aldina: „ἵνα ἐγὼ ἀναγγείλω“ κτλ.

[7]) Wetst. ad marginem: „Alias: ἀπαντήσει.“

[8]) Wetst. ad marginem: „Alias: συνάχθητε.“

[9]) Aldina editio: „ἀκούσατε περὶ Ἰσραήλ.“

ἀρχὴ τέκνων μου, σκληρὸς [1]) φέρεσθαι, καὶ σκληρὸς αὐθάδης. Ἐξύβρισας ὡς ὕδωρ μὴ ἐκζέσῃς· ἀνέβης γὰρ ἐπὶ τὴν κοίτην τοῦ πατρός σου· τότε ἐμίανας τὴν στρωμνὴν, οὗ ἀνέβης." Ὁμοίως δὲ καὶ πρὸς τοὺς λοιποὺς αἱ εὐλογίαι, προφητεῖαι οὖσαι, ἐξ ἐπιπνοίας εἴρηνται. Οὐδὲν τοίνυν θαυμαστὸν καὶ τὸν Δανιὴλ, ὁτὲ μὲν ἐξ ἐπιπνοίας λελαληκέναι [2]) τὸν κατὰ τῶν πρεσβυτέρων ἔλεγχον· ὁτὲ δὲ ἐνυπνίοις, ὡς καὶ σὺ φῄς, ἢ ὁράσει τε, καὶ ἄλλοτε γεγονέναι αὐτῷ ἀγγέλου ἐπιφάνειαν.

11. Τά γε μὴν ἄλλα σου ἐπαπορήματα ἐδόκει μοι ἀσεμνότερον εἰρῆσθαι, καὶ οὐκ ἔχεσθαι τῆς πρεπούσης σοι εὐλαβείας· οὐ χεῖρον δὲ θεῖναι τὸ αὐταῖς λέξεσιν ὑπὸ σοῦ γεγραμμένον οὕτως· „ἔπειτα μετὰ [3]) τὸ θαυμασίως πως οὕτως ἀποφθέγξασθαι, καὶ παραδοξότατά πως αὐτοὺς ἀπελέγχει· ὡς [4]) οὐδὲ Φιλιστίων ὁ μῖμος· οὐ γὰρ ἐξήρκει ἡ διὰ τοῦ πνεύματος ἐπίπληξις· ἀλλ' ἰδίᾳ διαστήσας ἑκάτερον αὐτῶν, ἐρωτᾷ ποῦ θεάσαιτο αὐτὴν μοιχωμένην. Ὡς δὲ ὁ μὲν ὑπὸ πρῖνον ἔφασκεν, ἀποκρίνεται πρίσειν αὐτὸν τὸν ἄγγελον· τῷ δὲ ὑπὸ σχῖνον εἰρηκότι, σχισθῆναι παραπλησίως ἀπειλεῖ." Ὥρα γὰρ παραβάλλειν ἄλλο τούτῳ παραπλήσιον εἰρημένον ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν, ὅπερ καὶ αὐτὸς ὁμολογήσεις ὑγιῶς ἀναγεγράφθαι, τῷ Φιλιστίωνος μίμῳ. Ἔχει δὲ οὕτως ἡ ἀπὸ τῶν Βασιλειῶν λέξις· „τότε [5]) ὤφθησαν δύο γυναῖκες πόρναι τῷ βασιλεῖ, καὶ ἔστησαν ἐνώπιον

---

[1]) Ed. Aldina: „σκληρῶς φέρεσθαι, καὶ σκληρῶς αὐθάδης."

[2]) Wetstenius: „λελαληκέναι ὡς τὸν" κτλ., sed in Mss. deest ὡς. R. — Wetst. in notis, absque jure, ut videtur: „interserendam vocalem ὡς, docet sequens lemma, cui esse analogum oportet.

[3]) Deest „μετά" apud Wetstenium, sed reperitur in Cod. Regio. R.

[4]) Wetstenius: „οὐδ' ὡς Φιλιστίωνος μῖμος," sed Cod. Reg. ut in nostro textu. R. — Cfr. pag. 18. not. 1.

[5]) Cfr. I Regg. III, 16—28. (III Regg.)

αὐτοῦ. Καὶ εἶπεν ἡ γυνὴ μία· ἐν ἐμοὶ, κύριέ μου· ἐγὼ καὶ ἡ γυνὴ αὕτη οἰκοῦμεν ἐν οἴκῳ ἑνὶ, καὶ ἐτέκομεν ἐν τῷ οἴκῳ. Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ τεκούσης μου, καὶ ἔτεκε καὶ ἡ γυνὴ αὕτη. Καὶ ἡμεῖς κατὰ τὸ αὐτό· οὐκ ἔστιν οὐδὲ εἷς ἐν τῷ οἴκῳ ἡμῶν, παρὲξ ἀμφοτέρων ἡμῶν ἐν τῷ οἴκῳ. Καὶ ἀπέθανεν ὁ υἱὸς τῆς γυναικὸς ταύτης τὴν νύκτα, ὡς ἐπεκοιμήθη ἐπ᾽ αὐτόν. Καὶ ἀνέστη μέσης τῆς νυκτὸς, καὶ ἔλαβε τὸν υἱόν μου ἐκ τῶν ἀγκαλῶν μου· καὶ ἡ δούλη σου ὕπνουν. Καὶ ἐκοίμισεν αὐτὸν ἐν τῷ κόλπῳ αὐτῆς, καὶ τὸν υἱὸν αὐτῆς τὸν τεθνεῶτα ἐκοίμισεν[1] *ἐν τῷ κόλπῳ μου. Καὶ ἀνέστην τὸ πρωῒ θηλάσαι τὸν υἱόν μου· κἀκεῖνος ἦν τεθνηκώς. Καὶ ἰδοὺ, κατενόησα αὐτὸν τὸ πρωῒ, καὶ ἰδοὺ, οὐκ ἦν ὁ υἱός μου, ὃν ἔτεκον. Καὶ εἶπεν ἡ γυνὴ ἡ ἑτέρα· οὐχί· ἀλλ᾽ ὁ υἱός σου ἔστιν ὁ νεκρὸς, ὁ υἱὸς δὲ ὁ ἐμὸς ὁ ζῶν. Ἡ δὲ ἄλλη καὶ αὐτὴ ἔλεγεν· οὐχί· ἀλλ᾽ ὁ υἱός μου ὁ ζῶν· ὁ δὲ υἱός σου ὁ τεθνηκώς. Καὶ ἐλάλησαν ἐνώπιον τοῦ βασιλέως. Καὶ εἶπεν ὁ βασιλεὺς αὐταῖς· σὺ λέγεις· οὗτός μου ὁ υἱὸς ὁ ζῶν, καὶ ὁ υἱὸς ταύτης ὁ τεθνηκώς. Καὶ σὺ λέγεις· οὐχί· ἀλλ᾽ ὁ υἱός μου ὁ ζῶν· ὁ δὲ υἱός σου ὁ τεθνηκώς. Καὶ εἶπεν ὁ βασιλεύς· λάβετέ μοι μάχαιραν. Καὶ προσήνεγκαν τὴν μάχαιραν ἐνώπιον τοῦ βασιλέως. Καὶ εἶπεν ὁ βασιλεύς· διέλετε τὸ παιδίον τὸ ζῶν εἰς δύο, καὶ δότε τὸ ἥμισυ αὐτοῦ ταύτῃ, τὸ ἥμισυ αὐτοῦ ταύτῃ. Καὶ ἀπεκρίθη ἡ γυνὴ, ἧς ὁ υἱός ἦν ὁ ζῶν, πρὸς τὸν βασιλέα, ὅτι ἐταράχθη ἡ μήτρα αὐτῆς ἐν τῷ υἱῷ αὐτῆς, καὶ εἶπεν· ἐν ἐμοὶ, κύριε· δότε αὐτῇ τὸ παιδίον τὸ ζῶν, καὶ θανάτῳ μὴ θανατώσητε αὐτό. Καὶ αὕτη εἶπε· μήτε ἐμοὶ, μήτε αὐτῇ ἔστω, διέλετε. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε· δότε τὸ παιδίον τῇ εἰπούσῃ· δότε αὐτῇ τοῦτο, καὶ θανάτῳ μὴ θανατώσητε αὐτό·*

---

[1]) W. et R. in textu: „*ἐκοίμισεν*,“ W. tamen ad marginem: „lege: *ἐκόμισεν*.“

αὕτη γάρ μήτηρ αὐτοῦ. Καὶ ἤκουσε πᾶς Ἰσραὴλ τὸ κρίμα, ὃ ἔκρινεν ὁ βασιλεύς, καὶ ἐφοβήθησαν ἀπὸ προσώπου τοῦ βασιλέως, ὅτι εἶδον, ὅτι φρόνησις Θεοῦ ἐν αὐτῷ τοῦ ποιεῖν δικαίωμα." Εἴπερ γὰρ χρὴ περὶ τῶν φερομένων ἐν ταῖς ἐκκλησίαις ἀποφαίνεσθαι χλευαστικῶς, μᾶλλον τὴν περὶ τῶν δύο ἑταιρῶν [1]) ἱστορίαν τῷ Φιλιστίωνος μίμῳ, ἢ τὴν περὶ τῆς σεμνῆς Σωσάννης ὁμοιῶσαι ἐχρῆν. Καὶ ὥσπερ οὐκ ἤρκει πρὸς πειθὼ τοῦ λαοῦ τὸ εἰπεῖν Σολομῶντα· „δότε [2]) τῇδε τὸ ζῶν παιδίον· αὕτη γάρ ἐστιν ἡ μήτηρ αὐτοῦ·" οὕτως οὐκ ἤρκει ἡ πρὸς τοὺς πρεσβυτέρους ἐπίπληξις τοῦ Δανιὴλ, μὴ προσπαραλαμβανομένου τοῦ ἐκ στόματος αὐτῶν ἐλέγχου· εἰπόντων μὲν ὑπό τι δένδρον αὐτὴν ἑωρακέναι κοιμωμένην μετὰ τοῦ νεανίσκου, μὴ μὴν συμφωνησάντων περὶ τοῦ, τί δένδρον ἦν. Καὶ ἐπείπερ ὡς καταλαβὼν ἔφασκες ἐξ ἐπιπνοίας [3]) τὸν Δανιὴλ κεκρικέναι τὰ περὶ τοὺς πρεσβυτέρους, τάχα μὲν οὕτως ἐλέγχοντα, τάχα δὲ ἑτέρως· πρόσχες· καὶ ταῦτα παραπλήσια δοκεῖ μοι εἶναι, τὰ κατὰ τὸν Δανιὴλ, τῇ κρίσει τοῦ Σολομῶντος· περὶ οὗ μαρτυρεῖ ἡ γραφή· „ὅτι [4]) εἶδεν ὁ λαὸς, ὅτι φρόνησις Θεοῦ ἐν αὐτῷ τοῦ ποιεῖν δικαίωμα." Τοῦτο ἂν δύναιτο λέγεσθαι καὶ περὶ τοῦ Δανιήλ· ὅτι φρονήσεως οὔσης ἐν αὐτῷ τοῦ [5]) ποιεῖν δικαίωμα, ἐκρίθη τὰ ἀναγεγραμμένα περὶ τῶν πρεσβυτέρων.

---

[1]) Wetst. in textu: „ἑτερῶν ἱστοριῶν τῷ Φιλιστίωνος νομίμῳ," ad marg. vero: „lege: ἑταιρῶν ἱστορίαν τῷ Φιλιστίωνος μίμῳ."

[2]) Cfr. I Regg. III, 27. (III Reg.)

[3]) Wetst. in textu: „ἐπινοίας," sed alii Codd. Mss. „ἐπιπνοίας." R. — Wetst. in textu: „ἐπινοίας τοῦ Δανιήλ," ad marg. vero: „lege: ἐπιπνοίας τὸν Δανιήλ."

[4]) Cfr. I Regg. III, 28. (III Regg.)

[5]) Wetst. in textu: „τῷ ποιεῖν," ad marg. vero: „lege: τοῦ ποιεῖν."

12. *Καὶ τοῦτο δὲ μικροῦ δεῖν ἔλαθέ*[1]) *με, ἀναγκαῖον παρατεθῆναι περὶ*[2]) *τοῦ πρῖνον πρίσειν, καὶ σχῖνον σχίσειν· ὅτι καὶ ἐν ταῖς ἡμετέραις γραφαῖς κεῖνταί τινες οἱονεὶ ἐτυμολογίαι, αἵτινες παρὰ μὲν Ἑβραίοις οἰκείως ἔχουσι, παρὰ δὲ ἡμῖν οὐχ ὁμοίως. Οὐδὲν οὖν θαυμαστὸν, ᾠκονομηκέναι τοὺς ἑρμηνεύσαντας τὰ περὶ τὴν Σωσάνναν, ἀνευρεῖν ἤτοι σύμφωνον τῷ ἑβραϊκῷ, — οὐ*[3]) *γὰρ πείθομαι —, ἢ ἀνάλογον τῷ συμφωνοῦντι τῷ*[4]) *ἑβραϊκῷ ὄνομά τι παρώνυμον. Πῶς δὲ ἐν τῇ ἡμετέρᾳ γραφῇ κεῖται τὸ τοιοῦτον, παραστήσομεν. Φησὶν ὁ Ἀδὰμ ἐπὶ τῇ γυναικὶ οἰκοδομηθείσῃ ὑπὸ τοῦ Θεοῦ ἐκ τῆς πλευρᾶς τοῦ ἀνδρός· „αὕτη*[5]) *κληθήσεται γυνὴ,*[6]) *ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη.“ Φασὶ δὲ οἱ Ἑβραῖοι, Ἐσσὰ μὲν καλεῖσθαι τὴν γυναῖκα, δηλοῦσθαι δὲ*

---

[1]) Wetst. in textu: „*ἔλαβέ με,*“ ad marg. vero: „lege: *ἔλαθέ με.*“

[2]) Wetst. in textu: „*περὶ τοῦ πρίνου πρίσιν, καὶ σχῖνον σχίσιν· ὅτι ἐν ταῖς — οἱονεὶ ἐτυμελετίαι,*“ sed rectius alii Codd. Mss. ut in nostro textu. R. — Wetst. ad marginem: „lege: *περὶ τοῦ πρίνου πρίσιν· καὶ σχίνου σχίσιν· ὅτι ἐν ταῖς — οἱονεὶ ἐτυμολογίαι.*“

[3]) Wetst. in textu habet: „*οὐ γὰρ πείθομαι ἀνάλογον εἶναι τῷ συμφωνοῦντι τῷ ἑβραϊκῷ ὀνόματι παρώνυμον,*“ sed praeterquam quod altera lectio, quam sequimur, reperitur in aliis Mss., confirmatur insuper infra ab Origene, dum ait, historiae Susannae interpretes *ἤτοι κυρίως ἐκδεδωκέναι τὰ τῆς λέξεως, ἢ εὑρηκέναι τὸ ἀνάλογον τοῖς κατὰ τὸ ἑβραϊκὸν παρωνύμοις.* R. — Wetst. ad marginem: „Alias: *εἰ ἀνάλογον τῷ συμφωνοῦντι τῷ ἑβραϊκῷ.*“

[4]) Wetst., cfr. pag. huj. not. 3., in textu: „*τῷ ἑβραϊκῷ ὀνόματι,*“ ad marg. vero: „forte legendum: *τῷ ἑβραϊκῷ ὄνομά τι.*“

[5]) Gen. II, 23.

[6]) R. in notis: „videtur legendum: *λῆμμα*, vel *λῆψις.*“

ἀπὸ τῆς λέξεως τὸ „ἔλαβον·“ [1]) ὡς δῆλον ἐκ τοῦ· „χῶς [2]) ἰσουὼθ [3]) ἐσσά·“ ὅπερ ἑρμηνεύεται· „ποτήριον [4]) σωτηρίου λήψομαι·“ ἲς δὲ τὸν ἄνδρα· ὡς φανερὸν ἐκ τοῦ· „ἐσρὴ [5]) ἀΐς·“ ὅπερ ἐστί· „μακάριος [6]) ἀνήρ.“ Κατὰ μὲν οὖν Ἑβραίους ἲς [7]) καὶ ἐσσὰ ἀνδρὸς, ὅτι ἀπὸ ἲς, ἀνδρὸς αὐτῆς, ἐλήφθη αὕτη. Οὐδὲν οὖν θαυμαστὸν, ἑρμηνεύσαντάς [8]) τινας τὸ περὶ Σωσάννης ἑβραϊκὸν, ἐν ἀποῤῥήτοις, ὡς εἰκὸς, πάλαι παρ᾽ αὐτοῖς κείμενον, καὶ παρὰ τοῖς φιλομαθεστέροις καὶ φιλαληθεστέροις σωζόμενον, ἤτοι κυρίως ἐκδεδωκέναι τὰ τῆς λέξεως, ἢ εὑρηκέναι τὸ ἀνάλογον τοῖς κατὰ τὸ ἑβραϊκὸν παρωνύμοις, ἵνα δυνηθῶμεν οἱ Ἕλληνες αὐτοῖς παρακολουθῆσαι. Καὶ γὰρ ἐπ᾽ ἄλλων πολλῶν ἔστιν εὑρεῖν οἰκονομικῶς [9]) τινα ὑπὸ τῶν ἑρμηνευσάντων ἐκδεδομένα· ἅπερ ἡμεῖς τετηρήκαμεν, συνεξετάζοντες πάσας τὰς ἐκδόσεις ἀλλήλαις.

13. Πρὸς τούτοις ἐπαπορεῖς αὐταῖς λέξεσι· „πῶς αἰχμάλωτοι ὄντες ἐν τῇ Βαβυλῶνι, ἠστραγαλωμένοι, [10]) καὶ ἐν ταῖς πλατείαις ἄταφοι ῥιπτούμενοι, ὡς ἐν τῇ προτέρᾳ αἰχμαλωσίᾳ τοῦ Ἰσραὴλ ἱστόρηται, τῶν παίδων

---

[1]) W. et R. in textu: „ἔλαβον,“ W. tamen ad marginem: „lege: ἔλαβεν.“

[2]) Cfr. Psalm. CXVI, 13.

[3]) Sic omnes habent Codd. Mss. Male autem Wetst. Cod. (itemq. ed. Wetst. in textu): „Ἰσουάθ.“

[4]) Psalm. CXVI, 13.

[5]) Cfr. Psalm. I, 1. [6]) Psalm. I, 1.

[7]) R. in notis, Wetstenio duce: „forte legendum: ἲς ἀνὴρ, καὶ ἐσσὰ ἀνδρίς, ut servetur verborum lusus a Symmacho excogitatus.“

[8]) Cod. Wetst. (itemq. ed. Wetst. in textu) perperam habet: „ἑρμηνεῦσαι τὰς τινὰς τὸ“ κτλ., recte autem alii Mss. (itemq. ed. Wetst. ad marginem) ut in nostro textu. R.

[9]) Nostri Mss. „οἰκονομικῶς τινα,“ Wetst. Codex (itemq. ed. Wetst. in textu): „οἰκονομικῶς τά.“ R.

[10]) Wetsten. Codex (itemq. ed. Wetst. in textu constanter): „ἀστραγαλώμενοι.“ R.

αὐτοῖς ἀποσπωμένων εἰς εὐνουχισμὸν, καὶ τῶν θυγατέρων εἰς παλλακὰς, ὡς [1]) *προπεφήτευτο, οἴδε περὶ θανάτου ἔκρινον, καὶ ταῦτα τῇ τοῦ βασιλέως αὐτῶν γενομένῃ γυναικὶ Ἰωακεὶμ, ὃν σύνθρονον πεποίητο* [2]) *ὁ Βαβυλώνιος βασιλεύς; Εἰ δὲ οὐχ οὗτος,* [3]) *ἄλλος δὲ τοῦ λαοῦ Ἰωακείμ· πόθεν τοιαύτη κατάλυσις αἰχμαλώτῳ περιῆν, καὶ παράδεισος ἀμφιλαφὴς ἦν;" Πόθεν δὲ λαβὼν ἔλεγες* [4]) *τό· „ἠστραγαλωμένοι,* [5]) *καὶ ἐν ταῖς πλατείαις ἄταφοι ῥιπτούμενοι·" ἢ, ὅσον ἐπ' ἐμῇ γνώσει, ἀπὸ τοῦ Τωβία;* [6]) *Περὶ οὗ ἡμᾶς ἐχρῆν ἐγνωκέναι, ὅτι Ἑβραῖοι τῷ Τοβίᾳ οὐ χρῶνται, οὐδὲ τῇ Ἰουδήθ· οὐδὲ γὰρ ἔχουσιν αὐτὰ καὶ ἐν ἀποκρύφοις ἑβραϊστί· ὡς ἀπ' αὐτῶν μαθόντες ἐγνώκαμεν. Ἀλλ' ἐπεὶ χρῶνται τῷ Τωβίᾳ αἱ ἐκκλησίαι, ἰστέον, ὅτι καὶ ἐν τῇ αἰχμαλωσίᾳ τινὲς τῶν αἰχμαλώτων ἐπλούτουν, καὶ εὖ ἔπραττον. Αὐτὸς δὲ ὁ Τωβίας φησί· „καθότι* [7]) *ἐμεμνήμην τοῦ Θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ μου, καὶ ἔδωκεν ὁ ὕψιστος χάριν καὶ μορφὴν ἐνώπιον Νεμεσσάρου,* [8]) *καὶ ἤμην αὐτοῦ ἀγοραστής·* [9]) *καὶ ἐπορευόμην εἰς τὴν Μηδίαν, καὶ παρεθέμην Γαβαήλῳ* [10]) *τῷ ἀδελφῷ Γαβρία ἐν*

---

[1]) Wetsten. in textu: „*ὥσπερ προπεφήτευτο,*" ad marginem: „lege: *πεπροφήτευται.*"

[2]) Wetst. et Ruaeus in textu: „*πεποίητο,*" Wetst. vero ad marginem: „lege: *ἐπεποίητο.*"

[3]) Wetstenius in textu: „*οὕτως,*" ad marg. vero: „lege: *οὗτος.*"

[4]) Wetst. in textu: „*ἔλεγε τό,*" ad marg. vero: „lege: *ἔλεγες τό.*"

[5]) Wetst. in textu: „*ἀστραγαλώμενοι,*" ad marginem: „Alias: *ἐστραγγαλωμένοι.*" — Cfr. pag. 41. not. 10.

[6]) Cfr. Tob. 11, 3. [7]) Cfr. Tob. 1, 12. 13. 14.

[8]) Wetst. ad marg., R. in notis: „Aldus: *Ἐνεμεσσάρου.*"

[9]) Wetst. in textu: „*ἀγορατής,*" ad marg. vero: „Aldus: *ἀγοραστής.*"

[10]) Wetst. in textu: „*Γαμαήλῳ,*" ad marg. vero: „Aldus: *Γαβαήλῳ.*"

῾Ράγοις [1]) τῆς [2]) Μηδίας ἀργυρίου τάλαντα δέκα.“ Καὶ ἐπιφέρει ὡς πλούσιος τό· „ἐν [3]) ταῖς ἡμέραις Νεμεσσάρου [4]) ἐλεημοσύνας πολλὰς ἐποίησα [5]) τοῖς ἀδελφοῖς μου. Τοὺς ἄρτους μου ἐδίδουν πεινῶσι, [6]) καὶ ἱμάτια τοῖς γυμνοῖς· καὶ εἴ τινα ἐκ τοῦ γένους ἑώρων τεθνηκότα, καὶ ἐῤῥιμμένον ὀπίσω τοῦ τείχους Νινευὶ, ἔθαπτον αὐτόν· καὶ εἴ τινα ἀπέκτεινε Σεναχηρεὶμ βασιλεὺς, ὅτε ἦλθε φεύγων ἐκ τῆς Ἰουδαίας, ἔθαψα αὐτοὺς κλέπτων· πολλοὺς γὰρ ἀπέκτεινεν ἐν τῷ θυμῷ αὐτοῦ.“ Καὶ κατανόει, εἴγε μὴ [7]) πολὺν πλοῦτον ἐμφαίνει καὶ πολλὴν περιουσίαν ὁ κατάλογος ὁ τοσοῦτος τῶν εὐποιϊῶν τοῦ Τωβία· καὶ μάλιστα, ὅτι ἐπιφέρει λέγων τό· „ἐπιγνοὺς, [8]) ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβηθεὶς ἀνεχώρησα· καὶ διηρπάγη πάντα τὰ ὑπάρχοντά μου.“ Ἀλλὰ καὶ ἕτερος αἰχμάλωτος, Δαχιάχαρος, [9]) ὁ τοῦ Ἀνανιὴλ [10]) υἱὸς [11]) ἀδελφοῦ Τωβία, ἐπὶ πᾶσαν κατεστάθη τὴν λογιστείαν [12]) τῆς βασιλείας τοῦ βασιλέως Ἀχερ-

---

[1]) W. ad marg., R. in notis: „Aldus: Ἀργοῖς.“

[2]) Wetst. in textu: „τῆς Μηδίας τάλαντα δέκα,“ ad marg. vero: „Aldus: τῆς Μηδίας ἀργυρίου τάλαντα δέκα.“

[3]) Cfr. Tob. I, 16—18.

[4]) W. ad marg., R. in notis: „Aldus: Ἐνεμεσσάρου.“

[5]) W. ad marg., R. in notis: „Aldus: ἐποίουν.“

[6]) Wetst. ad marginem: „Aldus: τοῖς πεινῶσιν, καὶ τὰ ἱμάτιά μου.“

[7]) Cod. Wetsten. (itemq. ed. Wetst. in textu) male: „εἴγε μήν.“ R.

[8]) Cfr. Tob. I, 19. 20.

[9]) W. ad marg., R. in notis: „Aldus: Ἀχιάχαρος.“ — Cfr. Tob. I, 21.

[10]) W. ad marg., R. in notis: „Aldus: Ἀναήλ.“

[11]) In Cod. Wetstenii (itemq. in textu ed. Wetst.) desideratur vox υἱός, quae in Cod. Reg. et in aliis reperitur. R.

[12]) W. ad marg., R. in notis: „Aldus: ἐκλογιστίαν.“

δόνος,[1]) καὶ ἐπὶ πᾶσαν τὴν διοίκησιν· καὶ λέγεται, ὅτι „ἦν[2]) ὁ Δαχιάχαρος οἰνοχόος, καὶ ἐπὶ τοῦ δακτυλίου, καὶ διοικητὴς, καὶ ἐκλογιστής.“ Καὶ ὁ Μαρδοχαῖος[3]) δὲ περὶ τὴν αὐλὴν διέτριβε τοῦ βασιλέως, καὶ τοσαύτην εἶχε παῤῥησίαν πρὸς αὐτὸν, ὥστε καὶ ἐν εὐεργέταις ἀναγεγράφθαι τοῦ Ἀρταξέρξου. Ἔτι δὲ καὶ ἐν τῷ Ἔσδρᾳ·[4]) Νεεμίας,[5]) οἰνοχόος τοῦ βασιλέως, καὶ εὐνοῦχος αὐτοῦ, Ἑβραῖος τῷ γένει, ᾐτήσατο τὰ περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ, καὶ ἔτυχεν· ὥστε μετὰ πλειόνων ἐπιτραπῆναι ἀπελθεῖν ἀνορθῶσαι τὸν ναόν. Τί οὖν θαυμαστὸν τὸ παράδεισον, καὶ οἰκίαν, καὶ κτῆμα γεγονέναι τινὸς Ἰωακεὶμ, εἴτε πολυτελὴς, εἴτε καὶ μετρία ἦν; Οὐ γὰρ σαφῶς δηλοῦται ἀπὸ τῆς γραφῆς τὸ τοιοῦτον.

14. Ἀλλὰ φῄς· „πῶς περὶ θανάτου ἔκρινον ἐν αἰχμαλωσίᾳ τυγχάνοντες;“ Οὐκ οἶδα, πόθεν ἀμφιβάλλων τὸ βασιλέως εἶναι γυναῖκα, διὰ τὴν ὁμωνυμίαν τοῦ Ἰωακεὶμ, τὴν Σωσάνναν. Λεκτέον δ', ὅτι οὐδὲν παράδοξον, μεγάλων ἐθνῶν ὑποχειρίων γενομένων, πρὸς βασιλέως συγκεχωρῆσθαι τοῖς οἰκείοις νόμοις χρῆσθαι τοὺς αἰχμαλώτους, καὶ τοῖς δικαστηρίοις. Καὶ νῦν γοῦν Ῥωμαίων βασιλευόντων, καὶ Ἰουδαίων τὸ δίδραχμον αὐτοῖς τελούντων, ὅσα συγχωροῦντος Καίσαρος ὁ Ἐθνάρχης παρ' αὐτοῖς δύναται· ὡς μηδὲν διαφέρειν βασιλεύοντος τοῦ ἔθνους· ἴσμεν, οἱ πεπειραμένοι. Γίνεται δὲ καὶ κριτήρια λεληθότως κατὰ τὸν νόμον, καὶ καταδικάζονταί τινες τὴν ἐπὶ τῷ θανάτῳ· οὔτε μετὰ τῆς πάντη εἰς τοῦτο παῤῥησίας, οὔτε μετὰ τοῦ λανθάνειν τὸν βασιλεύοντα. Καὶ τοῦτο ἐν τῇ χώρᾳ

---

[1]) W. ad marg., R. in notis: „Aldus: Σαρχεδόνος.“ — Cfr. Tob. I, 21.

[2]) Cfr. Tob. I, 22. — Ed. Wetstenii: „Ἀχιάχαρος.“

[3]) Cfr. Esth. II, 19. sqq. [4]) Cfr. II Esdr. I.

[5]) Cfr. Orig. Comm. in Matth. Tom. XIV.

τοῦ ἔθνους πολὺν διατρίψαντες χρόνον μεμαθήκαμεν, καὶ πεπληροφορήμεθα. Καίτοι γε ὑπὸ [1]) Ῥωμαίοις δύο φυλαὶ μόναι εἶναι ἱστόρηνται, ἥ τε Ἰούδα καὶ Βενιαμήν· ἔστω δὲ καὶ λευιτική· [2]) ὁ δὲ, παρὰ τὸν λαὸν Ἰούδα, Ἰσραὴλ, [3]) δέκα ἦσαν φυλαί. Καὶ εἰκὸς ἀρκεσθέντας τοὺς Ἀσσυρίους τῷ ὑποχειρίους αὐτοὺς ἔχειν, ἐπιτετραφέναι αὐτοῖς τὰ οἰκεῖα δικαστήρια.

15. Εὗρόν σου ἐν τῇ ἐπιστολῇ καὶ τοῦτο αὐταῖς λέξεσι τό· „ἐπὶ δὲ πᾶσι τοσούτων προωδοιπορηκότων προφητῶν, τῶν τε ἑξῆς οὐδεὶς ἕτερος ἑτέρου κέχρηται ῥητῷ [4]) νοήματι· οὐ γὰρ ἐπτώχευσεν ὁ λόγος αὐτῶν [5]) ἀληθὴς ὤν· οὑτοσὶ [6]) δὲ ἐκείνων θατέρῳ ἐπαπειλῶν, ὑπομιμνήσκει [7]) σε λέγοντος τοῦ κυρίου· ἀθῶον [8]) καὶ δίκαιον οὐκ ἀποκτενεῖς.“ Καὶ ἐθαύμασα, πῶς πολλὰς διατριβὰς ἔχων ἐν ταῖς ἐξετάσεσι καὶ μελέταις τῆς γραφῆς, οὐ τετήρηκας συγχρωμένους προφήτας προφητῶν λόγοις σχεδὸν αὐταῖς λέξεσι. Τίς γὰρ οὐκ οἶδε καὶ τῶν πολλῶν πιστῶν κείμενον ἐν τῷ Ἡσαΐᾳ τό· „ἔσται [9]) ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου· καὶ ὁ οἶκος τοῦ [10])

---

[1]) Wetst. in notis: „Leo Castrius legendum putat: ὑπὸ Βαβυλωνίοις.“

[2]) Wetstenius: „λευιτική· οἱ παρὰ τόν“ κτλ.

[3]) Wetst. in textu: „ἠσραήλ,“ ad marg. vero: „lege: υἱοὶ Ἰσραήλ.“

[4]) Wetst. in textu: „ῥητῶν,“ ad marg. vero: „lege: ῥητῷ.“

[5]) Wetst. in textu: „αὐτῆς,“ ad marg. vero: „lege: αὐτῶν.“

[6]) Wetstenius: „οὑτωσί.“

[7]) Wetst. in textu: „ὑπομιμνήσκησε,“ ad marginem: ὑπομιμνήσκῃ σε.“ — R. ut nos in textu, in notis vero: „in ep. Africani deest σε, et abesse quoque hoc loco potest sine sensus dispendio.“

[8]) Exod. XXIII, 7. coll. hist. Sus. vers. 53. (Dan. XIII, 53.).

[9]) Cfr. Jesai. II, 2—4.

[10]) Unus Cod. Mscr. „τοῦ κυρίου.“ R.

Θεοῦ ἐπ᾽ ἄκρων [1]) *τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν* [2]) *ἐπ᾽ αὐτὸ πάντα τὰ ἔθνη. Καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι· δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ· καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐν* [3]) *Ἱερουσαλήμ. Καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ κρινεῖ* [4]) *λαὸν πολύν· καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ λήψεται ἔθνος ἐπ᾽ ἔθνος μάχαιραν· καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.“ Τὸ δὲ παραπλήσιον τούτοις ὅλοις, καὶ τῇ αὐτῇ λέξει ἐν τῷ Μιχαίᾳ οὕτως ἐστὶ γεγραμμένον· „καὶ* [5]) *ἔσται ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος τοῦ κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν· καὶ σπεύσουσιν ἐπ᾽ αὐτῷ λαοί, καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι· δεῦτε, ἀναβῶμεν εἰς* [6]) *τὸ ὄρος τοῦ κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ· καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ· ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ. Καὶ κρινεῖ ἀνὰ μέσον λαῶν πολλῶν, καὶ ἐλέγξει* [7]) *ἐπὶ ἔθνη ἰσχυρὰ ἕως εἰς μακράν· καὶ κατακόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ* [8])

---

[1]) W. ad marg., R. in notis: „Aldus: *ἄκρου.*“

[2]) W. ad marg., R. in notis: „Aldus: *ἥξουσιν ἐν αὐτῇ πάντα.*“

[3]) W. ad marg., R. in notis: „Aldus: *ἐξ Ἱερουσαλήμ.*“

[4]) W. ad marg., R. in notis: „Aldus: *ἐξελέγξει.*“ — R. insuper ibidem: „Cod. Basileensis: *ἐλέγξει λαὸν πολύν.*“

[5]) Cfr. Mich. IV, 1—3.

[6]) W. ad marg., R. in notis: „Aldus: *εἰς τὸν οἶκον.*“

[7]) W. ad marg., R. in notis: „Aldus: *ἐξελέγξει ἔθνη ἰσχυρὰ ἕως μακράν.*“

[8]) W. ad marg., R. in notis: „Aldus: *καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα.*“

τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐκέτι μὴ ἄρῃ ἔθνος [1]) ἐπ' ἔθνος ῥομφαίαν, καὶ οὐκέτι μὴ μάθωσι πολεμεῖν." Ἔτι δὲ ἐν τῇ πρώτῃ τῶν Παραλειπομένων ὁ τεταγμένος ἐν χειρὶ Ἀσὰφ, καὶ τῶν ἀδελφῶν αὐτοῦ ψαλμὸς, τοῦ αἰνεῖν τὸν κύριον· οὗ ἡ ἀρχή· „ἐξομολογεῖσθε [2]) καὶ ἐπικαλεῖσθε αὐτὸν ἐν ὀνόματι αὐτοῦ·" ἐν μὲν τοῖς πλείστοις κατὰ τὴν αρχὴν ἰσοδυναμεῖ τῷ ἑκατοστῷ [3]) τετάρτῳ ψαλμῷ· ἕως τοῦ· „καὶ [4]) ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε·" μετὰ δὲ τοῦτο τῷ ἐνενηκοστῷ πέμπτῳ, ἀπὸ τῆς ἀρχῆς αὐτοῦ ἐγγύς πως ἐχούσης τό· „ᾄσατε [5]) τῷ κυρίῳ πᾶσα ἡ γῆ·" ἕως τοῦ· „ὅτι [6]) ἔρχεται κρῖναι τὴν γῆν." Ἐπεὶ δὲ ἦν τὸ παραθέσθαι αὐτὰς τὰς λέξεις πολὺ, [7]) διὰ βραχέων πρὸς τὸ προκείμενον ταῦτα εἰρήκαμεν. Εὑρήσεις δὲ καὶ περὶ τοῦ μὴ αἴρειν βάσταγμα ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, οὐ μόνον παρὰ Μωϋσεῖ [8]) γεγραμμένον, ἀλλὰ καὶ ἐν Ἱερεμίᾳ. [9]) Καὶ περὶ τοῦ Πάσχα καὶ νόμων ἱερατικῶν εὑρήσεις παρά τε Μωϋσεῖ, [10]) καὶ ἐν τοῖς τελευταίοις τοῦ Ἰεζεκιήλ. [11]) Καὶ αὐτὰς δ' ἂν παρεθέμην τὰς λέξεις, καὶ ἄλλας πλείονας, εἰ μὴ ἑώρων ὑπὸ τῆς ὀλιγότητος τῶν ἐν Νικομηδείᾳ ἡμερῶν ἡμῶν ἀποκλειόμενον τὸν χρόνον τῆς [12]) πρὸς σὲ γραφῆς.

---

1) W. ad marg., R. in notis: „Aldus: ἔθνος πρὸς ἔθνος."

2) Cfr. I Chron. XVI, 8—22.

3) Cfr. Psalm. CV, 1—15. (CIV.)

4) I Chron. XVI, 22. coll. Psalm. CV, 15. (CIV.)

5) Cfr. I Chron. XVI, 23—33. coll. Psalm. XCVI, 1—13. (XCV.)

6) I Chron. XVI, 33. coll. Psalm. XCVI, 13. (XCV.)

7) Wetst. in textu: „πολὺς," ad marginem: „forte legendum: πολύ."

8) Cfr. Exod. XXXV, 2. coll. Num. XV, 32.

9) Cfr. Jerem. XVII, 21. 24.

10) Cfr. Leviticus.

11) Cfr. Ezech. XLIII. XLIV. XLV. XLVI.

12) Ed. Wetstenii: τῆς προσγραφῆς.

16. *Πρὸς τούτοις ἔφασκες καὶ „τὸν τῆς φράσεως χαρακτῆρα διαλλάσσειν·“ ὅπερ ἐμοὶ οὐ πάνυ τι ἐφάνη.*

Καὶ ταῦτα μὲν ἀπελογησάμην. Ἦν δ᾽ ἂν προηγουμένως μετὰ τὰ ἐγκλήματα ἐγκώμιον εἰπεῖν τῆς περὶ Σωσάνναν γραφῆς ἐπιβαίνοντα ἑκάστῃ λέξει, καὶ δεικνύντα τὸ ἐξαίρετον τῶν νενοημένων· ὅπερ ἰδίᾳ τις τῶν φιλομαθῶς καὶ ἱκανῶς μεμελετηκότων τὰ θεῖα συντάξαι δυνήσεται.

Ταῦτα πρὸς τὰ, ὡς φῄς, κρούματα ἀπεκρινάμην, καὶ ἀντιγράφω· εἴθε καὶ παιδεύειν δυναίμην· νυνὶ δὲ οὐ τηλικαῦτα ἐμαυτῷ δίδωμι. Προσαγορεύει σε ὁ συναγωνισάμενος τῇ ὑπαγορεύσει τῆς ἐπιστολῆς, καὶ παρατυχὼν πάσῃ αὐτῇ, ἐν οἷς βεβούληται, διορθωσάμενος κύριός μου καὶ ἀδελφὸς, ἱερὸς Ἀμβρόσιος. Ἀσπάζεται δέ σε καὶ ἡ πιστοτάτη σύμβιος αὐτοῦ Μαρκέλλα ἅμα τοῖς τέκνοις, καὶ Ἀνίκητος. Σὺ τὸν καλὸν ἡμῶν πάπαν Ἀπολινάριον ἄσπασαι, καὶ τοὺς ἀγαπῶντας ἡμᾶς.

ΩΡΙΓΕΝΟΥΣ

ΠΡΟΣ ΓΡΗΓΟΡΙΟΝ

ΕΠΙΣΤΟΛΗ.

Πότε καὶ τίσι τὰ ἀπὸ φιλοσοφίας μαθήματα χρήσιμα εἰς τὴν τῶν ἱερῶν γραφῶν διήγησιν μετὰ γραφικῆς μαρτυρίας. [1])

1. Χαῖρε ἐν θεῷ, κύριέ μου σπουδαιότατε καὶ αἰδεσιμώτατε υἱὲ Γρηγόριε, [2]) παρὰ Ὠριγένους. Ἡ εἰς σύνεσιν, ὡς εὖ οἶσθα, εὐφυΐα ἔργον φέρειν δύναται ἄσκησιν προσλαβοῦσα, ἄγον ἐπὶ τὸ κατὰ τὸ ἐνδεχόμενον, ἵν᾿ οὕτως ὀνομάσω, τέλος ἐκείνου, ὅπερ ἀσκεῖν τις βούλεται. Δύναται οὖν ἡ εὐφυΐα σου Ῥωμαῖόν σε νομικὸν ποιεῖν τέλειον, καὶ Ἑλληνικόν τινα φιλόσοφον τῶν νομιζομένων ἐλλογίμων αἱρέσεων. Ἀλλ᾿ ἐγὼ τῇ πάσῃ τῆς εὐφυΐας δυνάμει σου ἐβουλόμην καταχρήσασθαί σε, τελικῶς μὲν εἰς Χριστιανισμὸν, ποιητικῶς [3]) δέ. Διὰ τοῦτ᾿ ἂν ηὐξάμην παραλαβεῖν σε καὶ φιλοσοφίας Ἑλλήνων τὰ οἱονεὶ εἰς Χριστιανισμὸν δυνάμενα γενέσθαι ἐγκύκλια μαθήματα, ἢ προπαιδεύματα, καὶ τὰ ἀπὸ γεωμετρίας καὶ ἀστρονομίας χρήσιμα ἐσόμενα εἰς τὴν τῶν ἱερῶν γραφῶν διήγησιν· ἵν᾿, ὅπερ φασὶ φιλοσόφων παῖδες

---

[1]) Cfr. Orig. opp. ed. de la Rue Tom. I. pag. 30—32. Philocal. edd. Cantabrig. 658. et 677. cap. XIII. pag. 41—43. coll. ed. nostrae Tom. I. pag. 1—4.

[2]) Idem, qui Thaumaturgus dictus est·

[3]) Ed. Ruaei: *ποιητικῶς δὲ διὰ τοῦτ᾿ ἂν κτλ.*

περὶ γεωμετρίας καὶ μουσικῆς, γραμματικῆς τε καὶ ῥητορικῆς, καὶ ἀστρονομίας, ὡς συνερίθων φιλοσοφίᾳ, τοῦθ' ἡμεῖς εἴπωμεν καὶ περὶ αὐτῆς φιλοσοφίας πρὸς Χριστιανισμόν.

2. Καὶ τάχα τοιοῦτό τι αἰνίσσεται τὸ ἐν Ἐξόδῳ γεγραμμένον [1]) ἐκ προσώπου τοῦ θεοῦ, ἵνα λεχθῇ τοῖς υἱοῖς Ἰσραὴλ αἰτεῖν παρὰ γειτόνων καὶ συσκήνων σκεύη ἀργυρᾶ καὶ χρυσᾶ, καὶ ἱματισμόν· ἵνα σκυλεύσαντες τοὺς Αἰγυπτίους, εὕρωσιν ὕλην πρὸς τὴν κατασκευὴν τῶν παραλαμβανομένων εἰς τὴν πρὸς θεὸν λατρείαν. Ἐκ γὰρ ὧν ἐσκύλευσαν τοὺς Αἰγυπτίους οἱ υἱοὶ Ἰσραὴλ, τὰ ἐν τοῖς ἁγίοις τῶν ἁγίων κατεσκεύασται· ἡ κιβωτὸς μετὰ τοῦ ἐπιθέματος, καὶ τὰ Χερουβὶμ, καὶ τὸ ἱλαστήριον, καὶ ἡ χρυσῆ στάμνος, ἐν ᾗ ἀπέκειτο τὸ μάννα τῶν ἀγγέλων ὁ ἄρτος. Ταῦτα μὲν οὖν ἀπὸ τοῦ καλλίστου τῶν Αἰγυπτίων εἰκὸς γεγονέναι χρυσοῦ· ἀπὸ δὲ δευτέρου τινὸς παρ' ἐκεῖνον ἡ στερεὰ δι' ὅλου χρυσῆ λυχνία, πλησίον τοῦ ἐσωτέρου καταπετάσματος, καὶ οἱ ἐπ' αὐτῆς λύχνοι, καὶ ἡ χρυσῆ τράπεζα, ἐφ' ἧς ἦσαν οἱ ἄρτοι τῆς προθέσεως, καὶ μεταξὺ ἀμφοτέρων τὸ χρυσοῦν θυμιατήριον. Εἰ δέ τις ἦν τρίτος καὶ τέταρτος χρυσὸς, ἐξ ἐκείνου κατεσκευάζετο τὰ σκεύη τὰ ἅγια. Καὶ ἀπὸ ἀργύρου δὲ Αἰγυπτίου ἄλλα ἐγίνετο· ἐν Αἰγύπτῳ γὰρ παροικοῦντες οἱ υἱοὶ Ἰσραὴλ, τοῦτο ἀπὸ [2]) τῆς ἐκεῖ παροικίας κεκερδήκασι, τὸ εὐπορῆσαι τοσαύτης ὕλης τιμίας εἰς τὰ χρήσιμα τῆς λατρείας τοῦ θεοῦ. Ἀπὸ δὲ Αἰγυπτίου ἱματισμοῦ εἰκὸς γεγονέναι ὅσα ἐδεήθη ἔργων, ὡς ὠνόμασεν ἡ γραφὴ, [3]) ῥαφιδευτῶν, συῤῥαπτῶν, τῶν ῥαφιδευτῶν μετὰ σοφίας θεοῦ, τὰ τοιάδε ἱμάτια τοῖς τοιοισδὶ, ἵνα γένηται τὰ καταπετάσματα, καὶ αἱ αὐλαὶ αἱ ἐσωτέρω καὶ ἐξωτέρω. Καὶ τί με δεῖ ἀκαίρως παρεκβαίνοντα κατασκευάζειν, εἰς ὅσα χρήσιμά ἐστι τοῖς υἱοῖς

---

[1]) Cfr. Exod. XI, 2. [2]) Edd. Philoc. „ὑπό.“
[3]) Cfr. Exod. XXXI, 3. 6.

Ἰσραὴλ τὰ ἀπὸ Αἰγύπτου παραλαμβανόμενα, οἷς Αἰγύπτιοι μὲν οὐκ εἰς δέον ἐχρῶντο· Ἑβραῖοι δὲ διὰ τὴν τοῦ θεοῦ σοφίαν εἰς θεοσέβειαν ἐχρήσαντο; Οἶδε μέντοι ἡ θεία γραφὴ πρὸς κακοῦ γεγονέναι, τὸ ἀπὸ τῆς γῆς τῶν υἱῶν Ἰσραὴλ εἰς Αἴγυπτον καταβεβηκέναι· αἰνισσομένη, ὅτι τισὶ πρὸς κακοῦ γίνεται τὸ παροικῆσαι τοῖς Αἰγυπτίοις, τουτέστι τοῖς τοῦ κόσμου μαθήμασι, μετὰ τὸ ἐγγραφῆναι τῷ νόμῳ τοῦ θεοῦ, καὶ τῇ Ἰσραηλιτικῇ εἰς αὐτὸν θεραπείᾳ. Ἄδερ[1]) γοῦν ὁ Ἰδουμαῖος, ὅσον μὲν ἐν τῇ γῇ τοῦ Ἰσραὴλ ἦν, μὴ γευόμενος τῶν Αἰγυπτίων ἄρτων, εἴδωλα οὐ κατεσκεύαζεν· ὅτε δὲ ἀποδρὰς τὸν σοφὸν Σολομῶντα κατέβη εἰς Αἴγυπτον, ὡς ἀποδρὰς ἀπὸ τῆς τοῦ θεοῦ σοφίας, συγγενὴς γέγονε τῷ Φαραὼ, γήμας τὴν ἀδελφὴν τῆς γυναικὸς αὐτοῦ, καὶ τεκνοποιῶν τὸν τρεφόμενον μεταξὺ τῶν παίδων τοῦ Φαραώ. Διόπερ, εἰ καὶ ἐπανελήλυθεν εἰς τὴν γῆν Ἰσραὴλ, ἐπὶ τὸ[2]) διασχίσαι τὸν λαὸν τοῦ θεοῦ ἐπανελήλυθε, καὶ ποιῆσαι αὐτοὺς εἰπεῖν ἐπὶ τῇ χρυσῇ δαμάλει·[3]) „οὗτοί εἰσιν οἱ θεοί σου, Ἰσραὴλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου.“ Κἀγὼ δὲ τῇ πείρᾳ μαθὼν εἴποιμ' ἄν σοι, ὅτι σπάνιος μὲν ὁ τὰ χρήσιμα τῆς Αἰγύπτου λαβὼν, καὶ ἐξελθὼν ταύτης, καὶ κατασκευάσας τὰ πρὸς τὴν λατρείαν τοῦ θεοῦ· πολὺς δὲ ὁ τοῦ Ἰδουμαίου Ἄδερ ἀδελφός. Οὗτοι δέ εἰσιν οἱ ἀπό τινος ἑλληνικῆς ἐντρεχείας αἱρετικὰ γεννήσαντες νοήματα, καὶ οἱονεὶ δαμάλεις χρυσᾶς κατασκευάσαντες ἐν Βαιθήλ·[4]) ὃ ἑρμηνεύεται οἶκος θεοῦ. Δοκεῖ δέ μοι καὶ διὰ τούτων ὁ λόγος αἰνίσσεσθαι, ὅτι τὰ ἴδια ἀναπλάσματα ἀνέθηκαν ταῖς γραφαῖς, ἐν αἷς οἰκεῖ λόγος θεοῦ, τροπικῶς Βαιθὴλ καλουμέναις. Τὸ δ' ἄλλο ἀνά-

[1]) Cfr. I Regg. XI, 14. (III Regg.) coll. Gen. XXXVI, 35. 36. [2]) Edd. Philoc. „τῷ.“

[3]) Cfr. I Regg. XII, 28. (III Regg.) coll. Exod. XXXII, 4. 8. 9. [4]) Cfr. I Regg. XII, 29. (III Regg.)

πλασμα ἐν Δάν φησιν ὁ λόγος ἀνατεθεῖσθαι.[1]) Τοῦ δὲ Δὰν τὰ ὅρια τελευταῖά ἐστι, καὶ ἐγγὺς τῶν ἐθνικῶν ὁρίων· ὡς δῆλον ἐκ τῶν ἀναγεγραμμένων ἐν τῷ τοῦ Ναυῆ Ἰησοῦ. Ἐγγὺς οὖν εἰσιν ἐθνικῶν ὁρίων τινὰ τῶν ἀναπλασμάτων, ἅπερ ἀνέπλασαν οἱ τοῦ Ἄδερ, ὡς ἀποδεδώκαμεν, ἀδελφοί.

3. Σὺ οὖν, κύριε υἱὲ, προηγουμένως πρόσεχε τῇ τῶν θείων γραφῶν ἀναγνώσει· ἀλλὰ πρόσεχε. Πολλῆς γὰρ προσοχῆς ἀναγινώσκοντες τὰ θεῖα δεόμεθα· ἵνα μὴ προπετέστερον εἴπωμέν τινα, ἢ νομίσωμεν περὶ αὐτῶν. Καὶ προσέχων τῇ τῶν θείων ἀναγνώσει μετὰ πιστῆς καὶ θεῷ ἀρεσκούσης προλήψεως, κροῦε τὰ κεκλεισμένα αὐτῆς, καὶ ἀνοιγήσεταί σοι ὑπὸ τοῦ θυρωροῦ, περὶ οὗ εἶπεν ὁ Ἰησοῦς· „τούτῳ[2]) ὁ θυρωρὸς ἀνοίγει.“ Καὶ προσέχων τῇ θείᾳ ἀναγνώσει, ὀρθῶς ζήτει καὶ μετὰ πίστεως τῆς εἰς θεὸν ἀκλινοῦς τὸν κεκρυμμένον τοῖς πολλοῖς νοῦν τῶν θείων γραμμάτων. Μὴ ἀρκοῦ δὲ τῷ κρούειν καὶ ζητεῖν· ἀναγκαιοτάτη γὰρ καὶ ἡ περὶ τοῦ νοεῖν τὰ θεῖα εὐχή· ἐφ' ᾗ προτρέπων ὁ σωτὴρ, οὐ μόνον εἶπε τό· „κρούετε,[3]) καὶ ἀνοιγήσεται ὑμῖν·“ καὶ τό· „ζητεῖτε,[4]) καὶ εὑρήσετε·“ ἀλλὰ καὶ τό· „αἰτεῖτε,[5]) καὶ δοθήσεται ὑμῖν.“ Ταῦτα ἀπὸ τῆς πρός σέ μου πατρικῆς ἀγάπης τετόλμηται. Εἰ δ' εὖ ἔχει τὰ τετολμημένα, ἢ[6]) μὴ, θεὸς ἂν εἰδείη, καὶ ὁ Χριστὸς αὐτοῦ, καὶ ὁ μετέχων πνεύματος θεοῦ καὶ πνεύματος Χριστοῦ. Μετέχοις δὲ καὶ σὺ, καὶ ἀεὶ αὔξοις τὴν μετοχὴν, ἵνα λέγῃς οὐ μόνον τό· „μέτοχοι[7]) τοῦ Χριστοῦ γεγόναμεν·“ ἀλλὰ καὶ „μέτοχοι τοῦ θεοῦ.“

---

[1]) Cfr. I Regg. XII, 29. (III Regg.)
[2]) Ev. Joann. X, 3. [3]) Matth. VII, 7. coll. Luc. XI, 9.
[4]) Matth. VII, 7. coll. Luc. XI, 9.
[5]) Matth. VII, 7. coll. Luc. XI, 9.
[6]) Edd. Philoc. „εἰ μή.“
[7]) Hebr. III, 14. coll. Rom. VIII, 17.

MONITUM
AD LIBROS DE RESURRECTIONE.

Eusebius [1]) Hist. Eccles. lib. VI. cap. 24. inter opera, quae Origenem Alexandriae composuisse narrat, recenset de Resurrectione libros duos. Scripti sunt ante libros περὶ ἀρχῶν, quandoquidem lib. I. περὶ ἀρχῶν cap. 10. laudantur his verbis: „De quo, — nimirum de Resurrectione —, in aliis quidem libris, quos de Resurrectione scripsimus, plenius disputavimus, et quid nobis de hoc videretur, ostendimus. Sed et nunc pauca inde repetere non videtur absurdum.“ Hieronymus in libro quodam, qui citatur a Rufino in Apologia secunda adversus Hieronymum, indiculum tenens librorum Origenis, non solum ait, eum scripsisse de Resurrectione libros duos, sed et alios de Resurrectione dialogos duos. Cum ergo aliquo sensu dici queat Origenes quatuor de Resurrectione libros scripsisse, idcirco forte idem Hieronymus ep. 38., alias 61., librum citat de Resurrectione quartum. Contra hos Origenis libros de Resurrectione scripsit Methodius episcopus insignem de Resurrectione dialogum, teste Hieronymo in libro de Script. Eccles., et Maximo in scholiis ad librum ecclesiasticae hierarchiae Dionysii cap. 7. Ex hoc Methodii dialogo egregia habes fragmenta apud Epiphanium in haeresi Origenistarum, et apud Photium in bibliotheca. Scripti sunt etiam super ea quaestione ad-

---

[1]) Cfr. Orig. Opp. ex ed. Ruaei Tom. I. pag. 32. sqq. coll. Prolegom.

versus Origenem ab Hammone Hadrianopolita libri, sed quorum hodie nihil superest. Huetius Origenianorum lib. II. quaest. 9. alios enumerat scriptores, quibus si fides habenda sit, variorum et e diametro fere oppositorum criminum de Resurrectione reus fuerit Origenes necesse est. Denique tot scatere erroribus ejus de Resurrectione libri Hieronymo videbantur, ut in ep. 41., alias 65. exclamet: „Quis Latinorum ausus est unquam transferre libros ejus de Resurrectione, *περὶ ἀρχῶν*, *στρωματέας*, et *τόμους*; Quis per infame opus se ipsum voluit infamari? Verum tamen Pamphilus Martyr in Apologia sua pro Origene aliis testimoniis, quae ex illius commentariis tum in Isaiam prophetam, tum in Psalmos I. XV. et XVIII. protulit, ut eum de resurrectione admodum catholice sensisse ostendat, praemisit etiam e libro illius primo et e libro II. de Resurrectione aliquot loca, quae hocce Monitum excipiunt, quaeque catholicae fidei omnino consonant. His addere poterat sanctus Martyr quae de resurrectione scripta reperiuntur lib. III. contra Celsum num. 41. his verbis: „*εἴπερ δυνατὸν ἀμείβειν ποιότητας τὴν ὑποκειμένην πάσαις ποιότησιν ὕλην· πῶς οὐ δυνατὸν καὶ τὴν σάρκα τοῦ Ἰησοῦ ἀμείψασαν ποιότητας γεγονέναι τοιαύτην, ὁποίαν ἐχρῆν εἶναι τὴν ἐν αἰθέρι, καὶ τοῖς ἀνωτάτω αὐτοῦ πολιτευομένην, οὐκέτι ἔχουσαν τὰ τῆς σαρκικῆς ἀσθενείας ἴδια;*“ Carnis ergo resurrectionem in Salvatore ac proinde in nobis confitetur. Confer quae habet lib. IV. contra Celsum num. 57., lib. V. num. 17—23., lib. VI. num. 29., lib. I. *περὶ ἀρχῶν* cap. 10., et ex singulorum locorum accurata collatione fateberis, nihil illis inesse, quod catholico de resurrectione dogmati non possit aptari, si modo quasdam exceperis quaestiunculas, quas luxurians Origenis ingenium curiosius persequens, paulo longius progreditur. Vide animadversiones nostras in Origenianorum lib. II. quaest. 9.

Ex Libro primo Origenis

de Resurrectione.

Quomodo [1]) enim non videtur absurdum, ut hoc corpus, quod pro Christo pertulit cicatrices, et pariter cum anima persecutionum toleravit saeva tormenta, carcerum quoque, ac vinculorum, et verberum supplicia pertulit, igne etiam cruciatum, ferro caesum est, insuper et bestiarum cruentos morsus, crucis patibula, ac diversa poenarum genera perpessum est, tantorum certaminum praemiis defraudetur? Quippe si sola anima, quae non sola certaverit, coronetur, et corporis sui vasculum, quod ei cum magno labore servivit, nulla agonis et victoriae praemia consequatur, quomodo non contra omnem rationem esse videtur, ut naturalibus vitiis, atque ingenitae libidini, propter Christum caro resistens, et virginitatem obtinens cum ingenti labore, qui continentiae labor utique aut major corporis quam animae est, aut certe utriusque aequalis est, praemiorum tempore altera velut indigna rejiciatur, altera veniat ad coronam? Quae res sine dubio aut injustitiae alicujus Deum, aut impossibilitatis accusat.

---

[1]) Desumtum est hocce fragmentum ex Apologia Pamphili pro Origene.

Ex Libro secundo Origenis
de Resurrectione.

Nos [1]) vero post corruptionem mundi eosdem ipsos futuros esse homines dicimus, licet non eodem statu, neque in iisdem passionibus. Non enim iterum ex conventione viri et mulieris erunt, sed, verbi gratia, ea ratio, quae continet Pauli substantiam, — Pauli autem nunc dico corporalis —, salva permanet; et cum voluerit Deus secundum ea, quae dicta sunt, per sacramentum tubarum in novissima tuba facere, ut mortui resurgant, per illam ipsam substantialem rationem, quae salva permanet, de terrae pulvere suscitantur a mortuis ex omnibus locis ii, quibus ratio illa substantiae corporalis in ipsis corporibus permanebat, quae in terram prolapsa Dei voluntate iterum suscitantur. Et hoc arbitror asserere volentem dixisse Apostolum in prima epistola ad Corinthios. Post assertionem enim resurrectionis mortuorum, cum proposuisset sibi ea, quae possent ab aliis objici de resurrectione mortuorum, sic ait: „sed [2]) dicit aliquis: quomodo resurgunt mortui? Quo autem corpore venient? Stulte, tu quod seminas, non vivificatur, nisi prius moriatur. Et quod seminas, non quod futurum est corpus seminas, sed nudum granum, ut puta tritici, aut alicujus ceterorum. Deus autem dat illi corpus prout vult.“ Cum enim manifestissime ostendisset, quia mortui resurgunt, et certum esset, quia Salvator noster cum ipso corpore resurrexit, quod susceperat ex Maria, non autem satis clarum esset, quomodo resurrecturi essent ceteri, vel quale corpus habituri: comparat resurrectionem seminibus, quae semi-

---

[1]) Desumtum est hoc fragmentum ex Apologia Pamphili pro Origene.

[2]) Cfr. I Cor. XV, 35 – 38.

nantur in terra, ut puta grano frumenti, quod cum ceciderit in terram, corrumpitur: sed rationis illius virtus, quae est insita in interioribus ejus medullis, ipsa rationis virtus assumta adjacentem sibi terram, vel aquae humorem, sed et aëris circumstantem temperiem, caloris quoque sufficientem recipiens fomitem, per divinam potentiam in corpus culmi vel spicae consurgit: et hoc est, quod dicit: „tu [1]) quod seminas, non vivificatur, nisi prius moriatur. Et quod seminas, non corpus, quod futurum est, seminas.“ Ergo hoc, quod cadit ut semen in terram, corpus nostrum comparatum est grano frumenti.

Et assertis his per hujusmodi consequentiam post pauca addidit etiam haec:

Quod autem omnis illa repromissio resurrectionis mortuorum de hoc corpore sit, quod mortuum relinquitur, sanctae scripturae multis modis hoc ostendunt. Sed et ipsa hoc Domini nostri Jesu Christi resurrectio declarat, qui primogenitus ex mortuis dicitur.

Post haec quibusdam per medium latius disputatis adjecit etiam ista:

Sicut enim plus habet omnis rationabilis anima his, quae vel crescendi, vel nutriendi, vel motus solius officium exhibere dicuntur: sic ea ratio, quae in humano corpore est, multo amplius habet quam quae in reliquis est corporibus, ex eo, quod etiam cum corruptum fuerit corpus humanum, subsistere rursum potest Dei virtute conservatum et custoditum usque ad resurrectionis suae tempus. Quod autem ubicunque fuerit, restituatur, id est ab omni, in quocunque jacuerit, loco, ita ait Joannes in revelatione sua: „et [2]) reddidit mare mortuos, quos habebat in se, et mors et infernus reddiderunt mortuos suos, qui erant in iis.“ Forte enim, ut ego puto, mare

[1]) Cfr. I Cor. XV, 36. 37. coll. pag. 56. not. 2.
[2]) Apoc. XX, 13.

hic pro humido omni appellatum est elemento, infernus autem pro aëre, mors vero pro terra. Quasi quandam namque cognationem his inter se invicem habentibus, corpus nostrum pulverem mortis vocat Scriptura, vel terram, vel corpus mortis. Sane qualis fuerit uniuscujusque praeparatio in hac vita, talis erit et resurrectio ejus. Qui beatius hic vixerit, corpus ejus in resurrectione diviniore splendore fulgebit, et apta ei mansio beatorum tribuetur locorum; huic vero, qui in malitia consumserit tempus sibi vitae praesentis indultum, tale dabitur corpus, quod sufficere et perdurare tantummodo possit in poenis. Et arbitror, quod hanc differentiam volens ostendere Paulus Apostolus dicit: „alia [1]) caro animalium, alia volucrum, alia piscium,“ et cetera, quae enumeravit Apostolus. Sed sicut non est putandum, quod animalium corpus accepturus sit peccator, aut volucrum, aut piscium, sic neque solis, aut lunae, aut stellarum formam sperandum est accipere eos, qui resurgent in gloria; sed exempli causa dicta esse haec ab Apostolo sentiendum est, ut designetur per haec, quod alii pro meritis suis honorabiliores et clariores erunt, beatiora quoque habitacula sortituri: aliorum vero indignissimus et abjectissimus pro gestorum scelere erit status, qui etiam mutis animalibus dignus sit comparari.

Origenis

Fragmentum de Resurrectione.

Περὶ [2]) τοῦ Λαζάρου καὶ τοῦ πλουσίου ἀπορεῖσθαι

---

[1]) Cfr. I Cor. XV, 39.

[2]) E libro S. Methodii de Resurrectione affert hoc Orig. fragmentum Photius in Biblioth. Cod. CCXXIV. Sed e quonam Orig. libro illud, nec non alterum sequens depromserit Methodius, incertum est Ruaeus.

δύναται· τῶν μὲν ἁπλουστέρων [1]) οἰομένων ταῦτα λελέχθαι, ὡς ἀμφοτέρων μετὰ τῶν σωμάτων λαμβανόντων τὰ ἄξια τῶν τῷ βίῳ πεπραγμένων· τῶν δὲ ἀκριβεστέρων, [2]) ἐπεὶ μετὰ τὴν ἀνάστασιν οὐδεὶς ἐν βίῳ καταλείπεται, οὐκ ἐν τῇ ἀναστάσει οἰομένων ταῦτα γεγονέναι· λέγει γὰρ ὁ πλούσιος· „ὅτι [3]) πέντε ἀδελφοὺς ἔχω, καὶ ἵνα μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου, πέμψον Λάζαρον ἀπαγγέλλοντα αὐτοῖς τὰ ἐνταῦθα·“ καὶ διὰ τούτων ζητούντων τὴν γλῶσσαν, καὶ τὸν δάκτυλον, καὶ τοὺς κόλπους Ἀβραὰμ, καὶ τὴν ἀνάκλισιν. [4]) Καὶ τάχα τὸ τῆς ψυχῆς ἅμα τῇ ἀπαλλαγῇ σχῆμα, ὁμοειδὲς ὂν τῷ παχεῖ καὶ γηΐνῳ σώματι, δύναται οὕτως λαμβάνεσθαι. Εἴ ποτε γοῦν ἱστόρηταί τις τῶν κεκοιμημένων φαινόμενος, ὅμοιος [5]) ἑώραται τῷ ὅτε τὴν σάρκα εἶχε σχήματι.

Εἶτα· ἀλλὰ καὶ ὁ Σαμουὴλ φαινόμενος, ὡς δῆλόν ἐστιν, ὁρατὸς ὢν, παρίστησιν ὅτι σῶμα περιέκειτο· μάλιστα ἐὰν ἀναγκασθῶμεν ὑπὸ τῶν ἀποδείξεων τὴν οὐσίαν τῆς ψυχῆς ἀσώματον εἶναι καὶ ταύτην ἀποφήνασθαι. Ἀλλὰ καὶ ὁ κολαζόμενος πλούσιος, καὶ ὁ ἐν κόλποις Ἀβραὰμ πένης ἀναπαυόμενος, πρὸ τῆς παρουσίας τοῦ σωτῆρος, καὶ πρὸ τῆς συντελείας τοῦ αἰῶνος, καὶ διὰ τοῦτο πρὸ [6]) τῆς ἀναστάσεως λεγόμενοι ὁ μὲν ἐν ᾅδου κολάζεσθαι, ὁ δὲ ἐν κόλποις Ἀβραὰμ ἀναπαύεσθαι, διδάσκουσιν, ὅτι καὶ νῦν τῇ ἀπαλλαγῇ σώματι χρῆται ἡ ψυχή.

---

1) Alias: „ἁπλούστερον.“ R.
2) Alias: „ἀκριβέστερον.“ R.
3) Cfr. Luc. XVI, 27. 28.
4) Alias: „ἀνάκλησιν.“ R.
5) Alias: „ὁμοίως.“ R.
6) Alias: „περὶ τῆς.“ R.

Ἐκ τῶν Μεθοδίου.

Φράσας [1]) (Ὠριγένης) ἀποφήνασθαι τὸν κύριον, ὡς οἱ τῆς ἀναστάσεως τευξόμενοι ἔσονται τότε ὡς [2]) ἄγγελοι, ἔνθα πειράζουσιν αὐτὸν οἱ Σαδδουκαῖοι, ἐπέφερεν· οἱ δὲ ἄγγελοι ἐκτὸς ὄντες σαρκὸς ἐν μακαριότητος ἀκρότητι, διὰ τοῦτο καὶ δόξης εἰσί· καὶ ἡμᾶς δὲ ἄρα ἐξισάζεσθαι μέλλοντας ἀγγέλοις, ἀνάγκη δὴ σαρκῶν ὡσαύτως ἐκείνοις γυμνοὺς ἔσεσθαι δεῖν.

---

1) Cfr. pag. 58. not. 2. coll. Epiphan. haeres. 64.
2) Cfr. Marc. XII, 25.

ORIGENIS SENTENTIA
DE RESURRECTIONE.

Dicit [1]) Origenes in pluribus locis, et maxime in libro de Resurrectione quarto, et in expositione primi psalmi, et in Stromatibus, duplicem errorem versari in ecclesia, nostrorum et haereticorum; nos simplices et philosarcas dicere, quod eadem ossa, et sanguis, et caro, id est, vultus et membra, totiusque compago corporis resurgat in novissima die: scilicet ut pedibus ambulemus, operemur manibus, videamus oculis, auribus audiamus, circumferamusque ventrem insatiabilem, et stomachum cibos concoquentem: consequens autem esse, qui ista credamus, dicere nos, quod et comedendum nobis sit, et bibendum, digerenda stercora, effundendus humor, ducendae uxores, liberi procreandi. Quo enim membra genitalia, si nuptiae non erunt? Quo dentes, si cibi non molendi sunt? Quo venter et cibi, si juxta Apostolum et hic et illi destruentur? ipso iterum clamante: „caro [2]) et sanguis regnum Dei non possidebunt, neque corruptio incorruptionem.“ Haec nos innocentes et rusticos asserit dicere: haereticos vero, in quorum parte sunt Marcion, Apelles, Valentinus, Manes, nomen insaniae, penitus et carnis et corporis resurrectionem negare: et salutem tantum tribuere animae, frustraque nos dicere ad exemplum Domini resurrecturos, quum ipse quoque Dominus in phantasmate resurrexerit: et non solum resurrectio ejus, sed et ipsa nativitas τῷ δοκεῖν, id est putative visa magis sit quam

---

[1]) Desumta haec sunt ex Hieronymi ad Pammachium epistola 38., alias 61. [2]) Cfr. I Cor. XV, 50.

fuerit. Sibi autem utramque displicere sententiam, fugere se et nostrorum carnes, et haereticorum phantasmata: quia utraque pars in contrarium nimia sit; aliis idem volentibus se esse quod fuerunt, aliis resurrectionem corporis omnino denegantibus. „Quatuor, inquit, elementa sunt, philosophis quoque nota et medicis, de quibus omnes res et corpora humana compacta sunt, terra, aqua, aër, et ignis. Terram in carnibus, aërem in halitu, aquam in humore, ignem in calore intelligi. Quum ergo anima caducum hoc frigidumque corpusculum Dei jussione dimiserit, paulatim omnia redire ad matrices suas substantias: carnes in terram relabi, halitum in aëra misceri, humorem reverti ad abyssos, calorem ad aethera subvolare. Et quomodo si sextarium lactis et vini mittas in pelagus, velisque rursum separare quod mixtum est: vinum quidem et lac, quod miseras, non periere, non tamen posse, quod fusum est, separari: sic substantiam carnis et sanguinis non perire quidem in originalibus materiis, non tamen in antiquam redire compaginem, nec posse ex toto eadem esse quae fuerint. Quum autem ista dicantur, soliditas carnium, sanguinis liquor, crassitudo nervorum, venarumque perplexio et ossium durities denegatur. Alia ratione resurrectionem corporum confitemur eorum, quae in sepulcris posita sunt, dilapsaque in cineres: Pauli Pauli, et Petri Petri, et singula singulorum: neque enim fas est, ut in aliis corporibus animae peccaverint, in aliis torqueantur: nec justi judicis, alia corpora pro Christo sanguinem fundere, et alia coronari." Quis haec audiens resurrectionem carnis eum negare putet? „Est, inquit, singulis seminibus ratio quaedam a Deo artifice insita, quae futuras materias in medullae principiis tenet. Et quomodo tanta arboris magnitudo, truncus, rami, poma, folia non videntur in semine, sunt tamen in ratione seminis, quam Graeci *σπερματισμόν* vocant: et in grano frumenti est intrinse-

cus, vel medulla, vel venula: quae quum in terra fuerit dissoluta, trahit ad se vicinas materias, et in stipulam, folia, aristasque consurgit: aliudque moritur, aliud resurgit; neque enim in grano tritici, radices, culmus, folia, aristae, paleae sunt dissolutae: sic et in ratione humanorum corporum manent quaedam surgendi antiqua principia, et quasi ἐντεριώνῃ, id est, seminarium mortuorum, sinu terrae confovetur. Quum autem judicii dies advenerit, et in voce archangeli et in novissima tuba tremuerit terra, movebuntur statim semina, et in puncto horae mortuos germinabunt: non tamen easdem carnes, nec in his formis restituent, quae fuerunt. Vis scire verum esse, quod dicimus? Audi Apostolum: *sed*[1]) *dicit aliquis: quomodo resurgent mortui? quo autem corpore venient? Insipiens, quod tu seminas, non corpus quod futurum est seminas, sed nudum granum; ut puta tritici*, vitis et arboris. Et quia de grano tritici, ac semente arborum ex parte jam diximus, nunc de acino vinacei disseramus. Granum parvum est, ita ut vix duobus digitulis teneri possit. Ubi sunt radices? Ubi radicum et trunci et propaginum tortuosa perplexio? Ubi pampinorum umbracula, et uvarum pulchritudo, futura vina parturiens? Aridum est quod tenetur, et pene vix cernitur: sed in sicco illo grano potentia Dei et occulta ratione sementis, spumantia musta fundentur. Haec ligno tribuis, quod periturum est: sic ornatur, quod mansurum non est, nec pristinam recipiet vilitatem. Et vis rursus ossa, sanguinem, membra: ut crescentibus capillis tonsore egeas, nasus pituitas digerat, incrementa unguium resecanda sint: ut per inferiores partes vel stercora, vel libidines effluant? Si affers istas ineptias rusticorum, et carnis, in qua Deo placere non possumus, quasi inimicae oblivisceris et resurrectionis mortuorum: *seminatur*[2])

---

[1]) Cfr. I Cor. XV, 35—37. [2]) I Cor. XV, 42—44.

in corruptione, surget in incorruptione. Seminatur in contumelia, surget in gloria. Seminatur in infirmitate, surget in virtute. Seminatur corpus animale, surget corpus spirituale. Nunc oculis videmus, auribus audimus, manibus agimus, pedibus ambulamus. In illo autem corpore spirituali toti videbimus, toti audiemus, toti operabimur, toti ambulabimus: et *transfigurabit* [1]) *Dominus corpus humilitatis nostrae conforme corpori suae gloriae.* Quando dixit, *transfigurabit*, id est, *μετασχηματίσει*, membrorum, quibus nunc utimur, diversitas denegatur. Aliud nobis spirituale et aethereum promittitur, quod nec tactui subjacet, nec oculis cernitur, nec pondere praegravatur, et pro locorum, in quibus futurum est, varietate mutabitur. Alioqui si eaedem carnes erunt, et corpora, quae fuerunt, rursum mares et feminae, rursum nuptiae; viris hirsutum supercilium, barba prolixa, mulieribus laeves genae, et angusta pectora: ad concipiendos et pariendos foetus venter et femora dilatanda sunt. Resurgent etiam infantuli, resurgent et senes: illi nutriendi, hi baculis sustentandi. Nec vos, o simplices, resurrectio Domini decipiat, quod latus et manus monstraverit, in litore steterit, in itinere cum Cleopha ambulaverit, et carnes et ossa habere se dixerit. Illud corpus aliis pollet privilegiis, quod de viri semine et carnis voluptate non natum est. Comedit post resurrectionem suam, et bibit, et vestitus apparuit: tangendum se praebuit, ut dubitantibus Apostolis fidem faceret resurrectionis. Sed tamen non dissimulat naturam aërii corporis et spiritualis. Clausis enim ingreditur ostiis, et in fractione panis ex oculis evanescit. Ergo et nobis post resurrectionem bibendum erit, et comedendum, et post cibum stercora egerenda? Et ubi erit illa promissio: *Oportet* [2]) *mortale hoc induere immortalitatem?*

---

[1]) Cfr. Philipp. III, 21. [2]) I Cor. XV, 53.

MONITUM
AD FRAGMENTA LIBRORUM
STROMATUM.

Eusebius [1]) lib. VI. Hist. Eccles. cap. 18. postquam narravit Ambrosium, qui Valentini haeresin sectabatur, veritatis, quam docebat Origenes, virtute convictum, ad rectae fidei, quae in ecclesia praedicabatur, professionem transiisse, addit: „*καὶ ἄλλοι δὲ πλείους τῶν ἀπὸ παιδείας, τῆς περὶ τὸν Ὠριγένην φήμης πανταχόσε βοωμένης, ᾔεσαν ὡς αὐτὸν, πεῖραν τῆς ἐν τοῖς ἱεροῖς λόγοις ἱκανότητος τ' ἀνδρὸς ληψόμενοι· μυρίοι τε τῶν αἱρετικῶν, φιλοσόφων τε τῶν μάλιστα ἐπιφανῶν οὐκ ὀλίγοι, διὰ σπουδῆς αὐτῷ προσεῖχον, μονονουχὶ πρὸς τοῖς θείοις, καὶ τὰ τῆς ἔξωθεν φιλοσοφίας πρὸς αὐτοῦ παιδευόμενοι. Εἰσῆγέ τε γὰρ ὅσους εὐφυῶς ἔχοντας ἑώρα καὶ ἐπὶ τὰ φιλόσοφα μαθήματα, γεωμετρίαν καὶ ἀριθμητικὴν, καὶ τὰ ἄλλα προπαιδεύματα παραδιδοὺς, εἴς τε τὰς αἱρέσεις τὰς παρὰ τοῖς φιλοσόφοις προάγων, καὶ τὰ παρὰ τούτοις συγγράμματα διηγούμενος, ὑπομνηματιζόμενός τε καὶ θεωρῶν εἰς ἕκαστα, ὥστε μέγαν καὶ παρ' αὐτοῖς Ἕλλησι φιλόσοφον τὸν ἄνδρα κηρύττεσθαι.*“ Porro hos Origenis in singulos veterum philosophorum libros commentarios aut nihil aliud fuisse, quam ipsosmet libros

[1]) Cfr. Orig. Opp. ed. Ruaei Tom. I. pag. 37. seqq.

στρωματεῖς inscriptos, numero decem, aut certe praecipuam fuisse *στρωματέων* materiam, admodum verisimile fit ex Hieronymi epistola 83., alias 84., in qua ait: „Hunc (*Clementem Alexandrinum*) imitatus Origenes decem scripsit Stromateas, Christianorum et philosophorum inter se sententias comparans: et omnia nostrae religionis dogmata de Platone et Aristotele, Numenio, Cornutoque confirmans.

Quo tempore et ubi scripti sint, docet Euseb. lib. VI. Hist. Eccles. cap. 24. „*καὶ τοὺς ἐπιγεγραμμένους στρωματεῖς, ὄντας τὸν ἀριθμὸν δέκα, ἐπὶ τῆς αὐτῆς πόλεως* (*Ἀλεξανδρείας*) *κατὰ τὴν Ἀλεξάνδρου συντάττει βασιλείαν, ὡς καὶ τοῦτο ὁλόγραφοι δηλοῦσιν αὐτοῦ πρὸ τῶν τόμων ἐπισημειώσεις.*“

Tertium hujus operis librum citat ipse Origenes Tom. XIII. in Joannem his verbis: „*ὡς καὶ ἐν τῷ τρίτῳ τῶν στρωματέων παρεστήκαμεν, διηγούμενοι τό· ὁ πατήρ* [1]) *σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι.*“ Quintum commemorat Hieronymus lib. IV. Comment. in Jerem. cap. 22., ubi exponens versum 24. „Vivo ego, dicit Dominus, quia si fuerit Chonias filius Joakim regis Juda annulus in manu dextera mea, in die evellam eum," et cetera, haec habet: „nunc dico et illi, (*Joviniano*), qui mortuus est, et isti, (*Rufino*), qui vivit, et haeresin instaurare conatur, magistrum eorum Origenem hunc referre ad Christum: quod de manu Dei Patris instar annuli avulsus sit, et missus in terram captivitatis, in vallem lacrimarum, crucique traditus; matrem quoque ejus, haud dubium quin synagogam, captam atque projectam. Et non pertimescit ista commemorans, hoc quod sequitur: *Terra, terra, terra audi verbum Domini. Haec dicit Dominus: scribe virum istum abominatum, sive sterilem*, et reliqua, intelligere de Domino majestatis.

[1]) Cfr. Matth. VI, 4.

σκνιφὶ [1]) *τῇ τρίτῃ μάστιγι, οὔτε Φαραὼ εὐχὴν γενέσθαι ἀξιοῖ, οὔτε Μωυσῆς εὔχεται. Καὶ ἐπὶ τῇ κυνομυίᾳ δὲ οὔσῃ τετάρτῃ λέγει· „εὔξασθε* [2]) *οὖν περὶ ἐμοῦ πρὸς κύριον.“ Ὅτε καὶ εἶπε Μωυσῆς· „ὅτι* [3]) *ἐγὼ ἐξελεύσομαι ἀπὸ σοῦ, καὶ εὔξομαι πρὸς τὸν θεὸν, καὶ ἀπελεύσεται ἡ κυνόμυια ἀπὸ* [4]) *Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ τοῦ λαοῦ αὐτοῦ αὔριον.“ Καὶ μετ' ὀλίγα· „ἐξῆλθε* [5]) *δὲ Μωυσῆς ἀπὸ Φαραὼ, καὶ ηὔξατο* [6]) *πρὸς τὸν θεόν.“ Πάλιν δὲ ἐπὶ τῆς πέμπτης καὶ ἕκτης μάστιγος, οὔτε Φαραὼ ἀξιώσαντος εὐχὴν γενέσθαι, οὔτε Μωυσέως εὐξαμένου, ἐπὶ τῆς ἑβδόμης „ἀποστείλας* [7]) *Φαραὼ, ἐκάλεσε Μωυσῆν καὶ Ἀαρὼν, καὶ εἶπεν αὐτοῖς· ἡμάρτηκα τὸ νῦν· ὁ κύριος δίκαιος, ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβεῖς.* [8]) *Εὔξασθε οὖν πρὸς κύριον, καὶ παυσάσθω τοῦ γενηθῆναι φωνὰς θεοῦ, καὶ χάλαζαν, καὶ πῦρ.“ Καὶ μετ' ὀλίγα· „ἐξῆλθε* [9]) *Μωυσῆς ἀπὸ Φαραὼ ἐκτὸς τῆς πόλεως, καὶ ἐξεπέτασε τὰς χεῖρας πρὸς κύριον, καὶ αἱ φωναὶ ἐπαύσαντο.“ Διὰ τί δὲ οὐκ εἴρηται· „καὶ ηὔξατο·“ ὡς ἐπὶ τῶν προτέρων, ἀλλ'· „ἐξεπέτασε* [10]) *τὰς χεῖρας πρὸς κύριον.“*

---

[1]) Cfr. Exod. VIII, 17. 18. — Edd. Oxon. et Ruaei: „*ταῖς σκνιφί.*“ [2]) Exod. VIII, 28.

[3]) Ita habet Cod. Mscr., male vero ed. Oxoniensis: „*ὅτε ἐγώ.*“ R. — Anglus: „Cod. Mscr. *ὅτι ἐγώ*, quod scribae sphalma ex edd. LXX. viror. Rom. et Oxon. corrigimus: *ὁ δὲ ἐγώ.* Habet autem Complut. *ἴδε ἐγώ*, quod quidem Hebraeo convenientius est.“ — Nihil mutaverim. Cfr. Exod. VIII, 29.

[4]) Anglus: Lege secundum LXX. interpretes: „*ἀπὸ σοῦ, καὶ τῶν θεραπόντων σου, καὶ τοῦ λαοῦ σου αὔριον.*“

[5]) Exod. VIII, 30.

[6]) Sic Cod. Mscr. Male autem ed. Oxoniensis: „*εὔξατο.*“ R. [7]) Cfr. Exod. IX, 27. 28.

[8]) Ed. Oxoniensis: „*ἀσεβής.*“

[9]) Cfr. Exod. IX, 33. coll. 29.

[10]) Cfr. Exod. IX, 33. coll. 29.

εὐκαιρότερον ἐν ἄλλοις ἐξεταστέον. Καὶ ἐπὶ τῆς ὀγδόης δὲ μάστιγός φησιν ὁ Φαραώ· „καὶ [1]) προσεύξασθε πρὸς κύριον τὸν θεὸν ὑμῶν, καὶ περιελέτω ἀπ' ἐμοῦ τὸν θάνατον τοῦτον. Ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραὼ, καὶ ηὔξατο πρὸς τὸν θεόν." Πολλαχοῦ δὲ εἴπομεν [2]) τὸ ὄνομα τῆς εὐχῆς μὴ κατὰ τὸ σύνηθες τετάχθαι, ὥσπερ ἐπὶ τοῦ Ἰακώβ; Ἀλλὰ καὶ ἐν Λευιτικῷ· „ἐλάλησε [3]) κύριος πρὸς Μωυσῆν, λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς [4]) αὐτούς· ὃς [5]) εὔξηται εὐχὴν ὥστε τιμὴν τῆς ψυχῆς αὐτοῦ τῷ κυρίῳ, ἔσται ἡ τιμὴ τοῦ ἄῤῥενος ἀπὸ εἰκοσαετοῦς ἕως ἑξηκονταετοῦς, ἔσται αὐτοῦ ἡ τιμὴ πεντήκοντα δίδραχμα ἀργυρίου τῷ σταθμίῳ [6]) τῷ ἁγίῳ." Καὶ ἐν Ἀριθμοῖς· „καὶ [7]) ἐλάλησε κύριος πρὸς Μωυσῆν, λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ γυνὴ ὃς [8]) ἐὰν μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνείαν κυρίῳ· ἀπὸ οἴνου καὶ σίκερα ἁγνισθήσεται·" καὶ τὰ ἑξῆς περὶ τοῦ καλουμένου Ναζιραίου. [9]) Εἶτα μετ' ὀλίγα·

---

[1]) Exod. X, 17. 18.

[2]) Bentlejus corrigit: „εἴπομεν," vel: „εὕρομεν." R.

[3]) Cfr. Levit. XXVII, 1—3.

[4]) Sic habet Cod. Mscr., Bentlejo autem scribendum videtur: „πρὸς αὐτούς· ὃς ἂν εὔξηται." Ed. Oxon. prae se fert: „πρὸς αὐτοὺς, λέγων· ἄνθρωπος ὃς εὔξηται." R.

[5]) Anglus: „Mscr. ὃς εὔξεται εὐχὴν ὥστε τιμή."

[6]) Ita legitur in Cod. Mscr., male (?) autem in ed. Oxoniensi: „σταθμῷ." R. — Anglus: „Cod. Mscr. σταθμίῳ, at edd. LXX. virorum: σταθμῷ."

[7]) Cfr. Num. VI, 1. 2. 3.

[8]) Ita Cod. Mscr., ed. autem Oxoniensis: „ὃς ἄν." R. — Anglus: In edd. LXX. interpretum hic et in seqq. locis legitur: „ἄν."

[9]) Ita Cod. Mscr. Ed. vero Oxoniensis „Ναζοραίου." R. — Anglus: Pro Ναζιραίου edd. Oxon. et Basil. male hic substituunt: Ναζοραίου, et Ναζωραίου."

„καὶ [1]) ἁγιάσει [2]) τὴν κεφαλὴν αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ ἡγιάσθη κυρίῳ, τὰς ἡμέρας τῆς εὐχῆς." Καὶ πάλιν μετ' ὀλίγα· „οὗτος [3]) ὁ νόμος τοῦ εὐξαμένου· ᾗ ἂν ἡμέρᾳ πληρώσῃ ἡμέρας εὐχῆς αὐτοῦ." Καὶ πάλιν μετ' ὀλίγον· „καὶ [4]) μετὰ ταῦτα πίεται ὁ ηὐγμένος οἶνον. Οὗτος ὁ νόμος τοῦ εὐξαμένου, ὃς [5]) ἐὰν εὔξηται κυρίῳ δῶρον αὐτοῦ περὶ τῆς εὐχῆς, χωρὶς ὧν ἂν εὕρῃ ἡ χεὶρ αὐτοῦ, κατὰ δύναμιν τῆς εὐχῆς αὐτοῦ, ἧς ἂν εὔξηται κατὰ τὸν νόμον ἁγνείας." Καὶ πρὸς τῷ τέλει τῶν Ἀριθμῶν· „καὶ [6]) ἐλάλησε Μωυσῆς πρὸς τοὺς ἄρχοντας τῶν φυλῶν υἱῶν Ἰσραὴλ, λέγων· τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε κύριος· ἄνθρωπος [7]) ὃς ἐὰν εὔξηται εὐχὴν κυρίῳ, ἢ ὀμόσῃ ὅρκον, [8]) ἢ ὁρισμῷ ὁρίσηται περὶ τῆς ψυχῆς αὐτοῦ, οὐ βεβηλώσει τὸ ῥῆμα αὐτοῦ· πάντα ὅσα ἂν ἐξέλθῃ ἐκ τοῦ στόματος αὐτοῦ, ποιήσει. Ἐὰν δὲ γυνὴ εὔξηται εὐχὴν κυρίῳ, ἢ ὁρίσηται ὁρισμὸν ἐν τῇ οἰκίᾳ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νεότητι αὐτῆς, καὶ ἀκούσῃ ὁ πατὴρ αὐτῆς τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμοὺς αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, καὶ παρασιωπήσῃ ὁ πατὴρ αὐτῆς, στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς· καὶ πάντες οἱ ὁρισμοὶ, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, μενοῦσιν [9]) αὐτῇ."

---

1) Cfr. Num. VI, 11. 12.

2) Edd. Oxon. et Ruaei: „ἁγιάσῃ," Anglus vero in notis: „lege, ut in edd. LXX. virorum: ἁγιάσει."

3) Num. VI, 13. 4) Cfr. Num. VI, 20. 21.

5) Ed. Oxon. „ὃς ἄν." — Cfr. pag. 97. not. 4. et 8.

6) Cfr. Num. XXX, 2—5.

7) Ed. Oxon. „ἄνθρωπος ὃς ἄν." — Cfr. pag. huj. not. 5.

8) In Cod. quidem Mscr. (itemq. in ed. Oxon.) legitur: „ὅρκον ὁρισμῷ ἢ ὁρίσηται," sed genuinum verborum ordinem ad fidem edd. LXX. interpretum restituere nobis visum est. R. — Item fere Anglus: In Cod. haec inepte invertit librarius: „ὅρκον ὁρισμῷ, ἢ ὁρίσηται," sicut habet ed. Oxoniensis.

9) Ed. Oxon. „μένουσιν."

Καὶ ἑξῆς τούτοις τινὰ περὶ τῆς [1]) *τοιαύτης νομοθετεῖ. Κατὰ τοῦτο τὸ σημαινόμενον ἐν ταῖς Παροιμίαις γέγραπται* [2]) . . . . „*(Παγὶς) ἀνδρὶ ταχύ* [3]) *τι τῶν ἰδίων ἁγιάσαι. Μετὰ γὰρ τὸ εὔξασθαι μετανοεῖν γίνεται.*“ *Καὶ ἐν τῷ Ἐκκλησιαστῇ·* „*ἀγαθὸν* [4]) *τὸ μὴ εὔξασθαι ἢ τὸ εὔξασθαι, καὶ μὴ ἀποδοῦναι.*“ *Καὶ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων·* „*εἰσὶν* [5]) *ἄνδρες παρ᾽ ἡμῖν τέσσαρες εὐχὴν ἔχοντες ἐφ᾽* [6]) *ἑαυτῶν.*“

4. *Οὐκ ἄλογον δή* [7]) *μοι ἐφάνη τὸ κατὰ τὰς γραφὰς σημαινόμενον πρῶτον διαστείλασθαι τῆς εὐχῆς δύο σημαινούσης· ὁμοίως δὲ καὶ τῆς προσευχῆς. Καὶ γὰρ τοῦτο τὸ ὄνομα πρὸς τῷ κοινῷ καὶ συνήθει πολλαχοῦ*

---

[1]) Anglus: „Pro *τῆς* legendum opinor: *εὐχῆς*, ut sit: *περὶ εὐχῆς τοιαύτης*. Nam id plane vult Origenes.“ — Ad quae quidem Ruaeus haec respondet: „Quomodo id plane velit, non video; cum tam in praecedd., quam in conseqq. scriptura loquatur de femina, quae votum voverit. Quid ergo vetat haec verba: *περὶ τῆς τοιαύτης*, verti: *de hujusmodi muliere?*“

[2]) Post „*γέγραπται*“ in Mscr. lacuna est duarum paene linearum: editor autem Oxon. ex Prov. XX, 25. vocem: *παγίς*, quae deest in Cod. Mscr., inclusam uncis hic addidit, ut compleatur loci scripturae sensus. R. — Anglus: In Cod. vacuum est spatium duarum prope linearum inter „*γέγραπται*“ et „*ἀνδρί*,“ sed nihil deesse videtur, praeter „*παγίς*,“ quod nos sententiae causa ex Prov. XX, 25. adjecimus. Exstant tamen, fateor, et alia duo exempla in Prov. VII, 14. et XIX, 13., unde hujus lacunae pars magna sic suppleri possit: *γέγραπται· σήμερον ἀποδίδωμι τὰς εὐχάς μου. Καί· οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας. Καί· παγὶς ἀνδρί κτλ.* Sed huic nos conjecturae non nimis confidimus.

[3]) Anglus: In Cod. perperam scribitur: „*ταχυτήτων.*“ — Cfr. Prov. XX, 25.

[4]) Cfr. Ecclesiast. V, 4. [5]) Cfr. Act. XXI, 23.

[6]) Sic habet Cod. Mscr. Male vero ed. Oxoniensis: „*ἀφ᾽ ἑαυτῶν.*“ R. — Anglus: Cod. Mscr. male: „*ἀφ᾽ ἑαυτῶν*,“ quod ex edd. Act. XXI, 23. corrigendum censuimus.“

[7]) Anglus: lege: „*δέ.*“

κειμένῳ, τέτακται καὶ ἐπὶ [1]) τῆς κατὰ τὸ σύνηθες ἡμῖν σημαινόμενον τῆς εὐχῆς ἐν [2]) τοῖς περὶ τῆς Ἄννης λεγομένοις ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν· „καὶ [3]) Ἠλεὶ

[1]) Anglus: Corruptus certe est hic locus: nam „τὸ σύνηθες σημαινόμενον εὐχῆς“ idem plane est, quod „τὸ κοινὸν προσευχῆς,“ cum a communi diversam utriusque significationem hic notet Origenes; vult enim vocem „προσευχήν“ non solum communi significatu *orationem* denotare, sed et non communi, sicut „εὐχήν, pro *voto* accipi: quod et exemplo sequente probare nititur. Sic igitur restituo hunc locum: „τέτακται καὶ ἐπὶ τοῦ μὴ κατὰ τὸ σύνηθες ἡμῖν σημαινομένου τῆς εὐχῆς.“ Ita supra num. 3.: „τὸ ὄνομα τῆς εὐχῆς μὴ κατὰ τὸ σύνηθες τέτακται,“ et in praesenti numero paulo post: „μήποτε τό· προσηύξατο· ἐπὶ τῆς συνήθως ἡμῖν ὀνομαζομένης τέτακται εὐχῆς, τὸ δέ· ηὔξατο εὐχήν· ἐπὶ τοῦ ἐν Λευιτικῷ τεταγμένου σημαινομένου.“ — Ad quae quidem Angli verba Ruaeus haec respondet: Nullo vitio laborat hic locus. Verum quidem est: „τὸ σύνηθες ἡμῖν σημαινόμενον εὐχῆς,“ si generatim sumatur, et abstrahatur ab omnibus circumstantiis, idem plane esse quod „τὸ κοινὸν προσευχῆς.“ At falsum est: „τὸ σύνηθες ἡμῖν σημαινόμενον εὐχῆς ἐν τοῖς περὶ τῆς Ἀννῆς λεγομένοις ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν,“ idem plane esse, quod „τὸ κοινὸν τῆς προσευχῆς.“ Nam „εὐχή“ I. Sam. 1, 9. „κατὰ τὸ σύνηθες ἡμῖν σημαινόμενον“ plane *votum* significat; quod certe non idem est ac „τὸ κοινὸν προσευχῆς.“

[2]) Edd. Oxon. et Ruaei: „ἔν τε περὶ τῆς,“ R. tamen in notis: „scribendum videtur, ut monet Bentlejus: ἐν τοῖς περὶ τῆς.“ — Anglus: Unum tantum hic exemplum profert Origenes. Quomodo igitur dicit: „ἔν τε περὶ τῆς Ἄννης λεγομένοις,“ quasi alio praecedente, vel sequente exemplo? Rectius certe sic legas: „ἔν γε τοῖς περὶ τῆς Ἄννης λεγομένοις,“ in iis saltem, *inquit*, quae de Anna dicuntur, vox προσευχή isto in sensu sumitur. Has vero particulas τε et γε saepe permutatas invicem in seqq. deprehendes.

[3]) Cfr. I Sam. I, 9—11. (I Regg.)

ὁ ἱερεὺς ἐκάθητο ἐπὶ θρόνου ἐπὶ φλιῶν ναοῦ [1]) κυρίου. Καὶ αὐτὴ ψυχῇ πικρᾷ, καὶ προσηύξατο πρὸς κύριον· καὶ κλαυθμῷ ἔκλαυσε. Καὶ ηὔξατο εὐχὴν, καὶ εἶπε· κύριε τῶν δυνάμεων, ἐὰν ἐφοράσει ἐπίδῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου, καὶ μνησθῇς μου, καὶ μὴ ἐπιλάθῃ τῆς δούλης σου, καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, καὶ δώσω αὐτὸν τῷ κυρίῳ δοτὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ· καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ." Δύναται μέντοι γέ τις οὐκ ἀπιθανῶς ἐνταῦθα, ἐπιστήσας τῷ· ,,προσηύξατο [2]) πρὸς κύριον, καὶ ηὔξατο εὐχήν·" εἰπεῖν· ὅτι εἰ τὰ δύο πεποίηκε, τουτέστι· ,,προσηύξατο πρὸς κύριον·" ,,καὶ ηὔξατο εὐχήν·" μήποτε τὸ μέν· ,,προσηύξατο·" ἐπὶ τῆς συνήθως ἡμῖν ὀνομαζομένης τέτακται εὐχῆς, τὸ δέ· ,,ηὔξατο εὐχήν·" ἐπὶ τοῦ ἐν Λευιτικῷ καὶ Ἀριθμοῖς τεταγμένου σημαινομένου. [3]) Τὸ γάρ· ,,δώσω [4]) αὐτὸν κυρίῳ δοτὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ· καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ·" κυρίως οὐκ ἔστι προσευχὴ, ἀλλ' ἐκείνη ἡ εὐχὴ, ἥντινα καὶ Ἰεφθάε ηὔξατο ἐν τούτοις· ,,καὶ [5]) ηὔξατο Ἰεφθάε εὐχὴν τῷ κυρίῳ, καὶ εἶπεν· ἐὰν παραδόσει [6]) παραδῷς μοι τοὺς υἱοὺς Ἀμμὼν ἐν χειρί μου· καὶ ἔσται, ὃς ἐὰν ἐξέλθῃ ἐκ τῶν θυρῶν τοῦ οἴκου μου εἰς ἀπάντησίν μου ἐν τῷ ἐπιστρέψαι με ἐν εἰρήνῃ ἀπὸ τῶν υἱῶν Ἀμμὼν, καὶ ἔσται τῷ κυρίῳ, καὶ ἀνοίσω αὐτὸν ὁλοκαύτωμα."

---

[1]) Edd. Oxon. et Ruaei: ,,ναῶν." Anglus: Cod. Mscr. ,,ναῶν," sed lege: ,,ναοῦ." Hic vero per ,,ναόν" intelligas oportet tabernaculum.

[2]) Cfr. I Sam. I, 10. 11. (I Regg.).

[3]) Sic Cod. Mscr., in quo male legit editor Oxoniensis: ,,σημαινόμενον." R.

[4]) Cfr. I Sam. I, 11. (I Regg.)

[5]) Cfr. Judic. XI, 30. 31.

[6]) Ed. Oxoniensis: ,,παραδώσει." — Anglus: In Cod. Holm. male legitur: ,,παραδώσει," sicut et in Cod. Alexandrino.

5. *Εἰ χρὴ τοίνυν μετὰ ταῦτα, ὥσπερ ἐκελεύσατε, ἐκθέσθαι τὰ πιθανὰ πρῶτον τῶν οἰομένων μηδὲν ἀπὸ τῶν εὐχῶν ἀνύεσθαι, καὶ διὰ τοῦτο φασκόντων περισσὸν εἶναι τὸ εὔχεσθαι, οὐκ ὀκνήσομεν κατὰ δύναμιν καὶ τοῦτο ποιῆσαι, κοινότερον νῦν καὶ ἁπλούστερον τοῦ τῆς εὐχῆς ὀνόματος ἡμῖν λεγομένου*[1]) .... *Οὕτω*[2]) *δὴ ὁ λόγος ἐστὶν ἄδοξος, καὶ μὴ τυχὼν ἐπισήμων τῶν προϊσταμένων αὐτοῦ, ὥστε μηδὲ πάνυ εὑρίσκεσθαι, ὅστις ποτὲ τῶν πρόνοιαν παραδεξαμένων, καὶ θεὸν ἐπιστησάντων τοῖς ὅλοις, εὐχὴν μὴ προσίεται. Ἔστι γὰρ τὸ δόγμα, ἤτοι τῶν πάντῃ ἀθέων, καὶ τὴν οὐσίαν τοῦ θεοῦ ἀρνουμένων, ἢ τῶν μέχρις ὀνόματος τιθέντων θεὸν, τὴν πρόνοιαν δὲ αὐτοῦ ἀποστερούντων. Ἤδη μέντοι γε ἡ ἀντικειμένη ἐνέργεια, τὰ ἀσεβέστατα τῶν δογμάτων περιτιθέναι θέλουσα τῷ ὀνόματι τοῦ Χριστοῦ, καὶ τῇ διδασκαλίᾳ τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ περὶ τοῦ μὴ δεῖν εὔχεσθαι δεδύνηται πεῖσαί τινας·*[3]) *ἧς γνώμης προΐστανται οἱ τὰ αἰσθητὰ πάντῃ*[4]) *ἀναιροῦντες, καὶ μήτε βαπτίσματι, μήτε εὐχαριστίᾳ χρώμενοι, συκοφαντοῦντες τὰς γραφὰς, ὡς καὶ τὸ εὔχεσθαι τοῦτο οὐ βουλομένας, ἀλλ' ἕτερόν τι σημαινόμενον παρα*

---

[1]) Post „*λεγομένου*" in Cod. Mscr. est hiatus ad spatium duarum linearum; in ed. autem Oxon. repletur his verbis: „*Τινὲς μὲν παντελῶς τὴν προσευχὴν ἀναιροῦσι,*" quae cum in Mscr. desiderentur, e textu nostro expungenda esse duximus. R. — Item fere Anglus.

[2]) Cod. Mscr. recte habet: „*Οὕτω δή*" *κτλ.* Male ed. Oxoniensis: „*Οὗτος δή*" *κτλ.* R. — Anglus: „Nempe, ut quis providentiam agnoscat, et tamen Deum non orandum esse dicat; nam tale quid in lacuna positum fuisse, apparet ex sequentibus."

[3]) Anglus: „Haereticos, scil. Prodicianos, ut docet Clemens Alexandrin. Stromat. 7. pag. 854. (722.)

[4]) Anglus: Lege: „*πάντα.*" — Ad quae quidem Angli verba Ruaeus recte, ut videtur, haec respondet: „Cur legi velit: *πάντα*, non intelligo, cum Cod. Mscr. verba in eundem sensum recidant, sive legatur: *πάντῃ*, sive: *πάντα.*"

τοῦτο διδασκούσας. Εἶεν δ' ἂν οἱ λόγοι τῶν ἀθετούντων τὰς εὐχὰς, οὗτοι· δηλονότι θεὸν ἐφιστάντων τοῖς ὅλοις, καὶ πρόνοιαν εἶναι λεγόντων. Οὐ γὰρ πρόκειται νῦν ἐξετάζειν τὰ λεγόμενα ὑπὸ τῶν πάντη ἀναιρούντων θεὸν, ἢ πρόνοιαν. Ὁ θεὸς οἶδε τὰ πάντα πρὸ γενέσεως αὐτῶν· καὶ οὐδὲν ἐκ τοῦ ἐνεστηκέναι ὅτε ἐνέστηκε πρῶτον αὐτῷ γινώσκεται ὡς πρὸ τούτου μὴ γνωσθέν. Τίς οὖν χρεία ἀναπέμπεσθαι εὐχὴν τῷ καὶ πρὶν εὔξασθαι ἐπισταμένῳ ὧν χρήζομεν; „Οἶδε [1]) γὰρ ὁ πατὴρ ὁ οὐράνιος, ὧν χρείαν ἔχομεν, πρὸ τοῦ ἡμᾶς αἰτῆσαι αὐτόν.“ Εὔλογον δὲ πατέρα καὶ δημιουργὸν αὐτὸν ὄντα τοῦ παντὸς, ἀγαπῶντα [2]) τὰ ὄντα πάντα, καὶ μηδὲν βδελυσσόμενον ὧν πεποίηκε, σωτηρίως τὰ περὶ ἕκαστον καὶ χωρὶς τοῦ εὔξασθαι οἰκονομεῖν, δίκην πατέρος νηπίων προϊσταμένου, καὶ μὴ περιμένοντος ἐκείνων τὴν ἀξίωσιν· ἤτοι μηδ' ὅλως δυναμένων αἰτεῖν, ἢ διὰ ἄγνοιαν πολλάκις τὰ ἐναντία τοῖς συμφέρουσι καὶ λυσιτελοῦσι θελόντων λαβεῖν. Ἀπολειπόμεθα δὲ οἱ ἄνθρωποι πλεῖον τοῦ [3]) θεοῦ, ἤπερ τὰ κομιδῇ παιδία τοῦ νοῦ τῶν γεγεννηκότων. Εἰκὸς δὲ [4]) τῷ θεῷ οὐ μόνον προεγνῶσθαι τὰ ἐσόμενα, ἀλλὰ καὶ προδιατετάχθαι, καὶ [5]) μηδὲν παρὰ τὰ αὐτῷ προδιατεταγμένα γίνεσθαι. Ὥσπερ οὖν εἴ τις εὔχοιτο ἀνατέλλειν τὸν ἥλιον, ἠλίθιος ἂν νομίζοιτο, τὸ καὶ χωρὶς τῆς εὐχῆς

---

[1]) Matth. VI, 8. [2]) Cfr. Sap. Sal. XI, 24.

[3]) Bentlejo scribendum videtur: „τοῦ νοῦ τοῦ θεοῦ.“ R.

[4]) Deest „δέ“ in edd. Oxon. et Ruaei. — Anglus: Deest „δέ,“ transit enim hic ad aliud Haereticorum ἐπιχείρημα, uti in Cod. ora notatur. Lege igitur: „Εἰκὸς δὲ τῷ θεῷ.“

[5]) Edd. Oxon. et Ruaei in textu: „καὶ μηδὲν αὐτῷ παρὰ τὰ προδιατεταγμένα,“ ed. vero R. in notis: „Bentlejus legit: καὶ μηδὲν παρὰ τὰ αὐτῷ προδιατεταγμένα.“ — Item fere Anglus: „Invertit haec librarius; nam vera certe lectio est: καὶ μηδὲν παρὰ τὰ αὐτῷ“ κτλ.

αὐτοῦ ἐσόμενον διὰ τῆς εὐχῆς γενέσθαι ἀξιῶν· οὕτως ἀνόητος ἂν εἴη ἄνθρωπος, ὅστις οἴεται διὰ τὴν ἑαυτοῦ εὐχὴν γίνεσθαι τὰ καὶ μὴ εὐξαμένου αὐτοῦ πάντως ἐσόμενα ἄν. Πάλιν τε αὖ ὥσπερ πᾶσαν [1]) μανίαν ὑπερβάλλει ὁ διὰ τὸ ἐνοχλεῖσθαι ὑπὸ τοῦ ἡλίου γενομένου ἐν θεριναῖς τροπαῖς καὶ καυσοῦσθαι, οἰόμενος διὰ τῆς εὐχῆς μεταστήσεσθαι τὸν ἥλιον ἐπὶ τὰ ἐαρινὰ σημεῖα, ἵνα εὐκράτου ἀπολαύῃ τοῦ ἀέρος· οὕτως τὰ ἀναγκαίως συμβαίνοντα περιστατικὰ τῷ τῶν ἀνθρώπων γένει, εἴ τις οἴοιτο διὰ τὸ εὔχεσθαι μὴ πείσεσθαι, πᾶσαν ὑπερβάλοι μελαγχολίαν. Εἰ δὲ καὶ „ἠλλοτριώθησαν [2]) ἁμαρτωλοὶ ἀπὸ μήτρας,“ καὶ ἀφώρισται [3]) ὁ δίκαιος „ἐκ κοιλίας μητρὸς,“ καὶ [4]) „μήπω [5]) μήτε γεννηθέντων, μήτε πραξάντων τι ἀγαθὸν ἢ φαῦλον, ἵνα ἡ κατ᾽ ἐκλογὴν πρόθεσις τοῦ θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ᾽ ἐκ τοῦ καλοῦντος, λέγεται· ὁ [6]) μείζων δουλεύσει τῷ ἐλάττονι·“ μάτην περὶ ἀφέσεως ἁμαρτημάτων ἀξιοῦμεν, ἢ περὶ τοῦ πνεῦμα ἰσχύος λαβεῖν, ἵνα πάντα [7]) ἰσχύσωμεν ἐνδυναμοῦντος ἡμᾶς Χριστοῦ. Εἰ μὲν γὰρ ἁμαρτωλοί ἐσμεν, ἀπὸ μήτρας ἠλλοτριώμεθα· εἰ δὲ ἀφωρίσθημεν ἐκ κοιλίας μητρὸς ἡμῶν, τὰ κάλλιστα καὶ μὴ εὐχομένοις ἀπαντήσεται. Ποίαν γὰρ εὐχὴν προσαγαγὼν Ἰακὼβ, πρὶν γεννηθῆναι προφητεύεται ὅτι ὑπερέξει [8]) τοῦ Ἠσαῦ, καὶ δουλεύσει αὐτῷ ὁ ἀδελφός; Τί δὲ ἀσεβήσας ὁ Ἠσαῦ μισεῖται πρὶν γεννηθῆναι; Ἵνα τί δὲ εὔχεται Μωσῆς, ὡς ἐν ὀγδοηκοστῷ ἑβδόμῳ [9])

---

[1]) Mallet Bentlejus: „πᾶσαν μανίαν ἂν ὑπερβάλλοι.“ R. [2]) Cfr. Psalm. LVIII, 3. (LVII.)

[3]) Cfr. Gal. I, 15.

[4]) Deest „καί“ in edd. Oxon. et Ruaei, ed. tamen Ruaei in notis: „legit Bentlejus: καὶ μήπω.“ — Item fere Anglus: „lege: καὶ μήπω, nam deest plane: καί.“

[5]) Cfr. Rom. IX, 11. 12. [6]) Cfr. Gen. XXV, 23.

[7]) Cfr. Philipp. IV, 13. [8]) Cfr. Gen. XXV, 23.

[9]) Sic habet Cod. Mscr., in quo male legit editor

εὕρηται ψαλμῷ, εἰ καταφυγὴ [1]) αὐτοῦ ἐστιν ὁ θεὸς, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, καὶ πλασθῆναι τὴν γῆν, καὶ τὴν οἰκουμένην [2]) .... Ἀλλὰ καὶ περὶ πάντων τῶν σωθησομένων ἐν τῇ πρὸς Ἐφεσίους ἀναγέγραπται, ὅτι [3]) ἐξελέξατο [4]) αὐτοὺς ἐν αὐτῷ ἐν Χριστῷ ὁ πατὴρ πρὸ καταβολῆς κόσμου, εἰς τὸ εἶναι αὐτοὺς ἁγίους καὶ ἀμώμους κατ' ἐνώπιον αὐτοῦ ἐν ἀγάπῃ· προορίσας αὐτοὺς εἰς υἱοθεσίαν διὰ Χριστοῦ εἰς αὐτόν. Ἤτοι οὖν τις ἐκ [5]) τῶν πρὸ καταβολῆς κόσμου ἐστὶν ἐξειλεγμένος, [6]) καὶ ἀμήχανον αὐτὸν τῆς ἐκλογῆς ἐκπεσεῖν, διόπερ οὐ χρεία τούτῳ εὐχῆς· ἢ οὐκ ἐξείλεκται, οὐδὲ προώρισται, καὶ μάτην εὔχεται, κἂν μυριάκις εὔξηται, [7]) οὐκ ἐπακουσθησόμενος. „Οὓς [8]) γὰρ προέγνω ὁ θεὸς, τούτους καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τῆς δόξης τοῦ υἱοῦ αὐτοῦ. Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.“ Τί γὰρ κάμνει Ἰωσίας, ἢ διὰ

Oxoniensis: „ἐννάτῳ.“ Nunc in graecis Bibliorum Codicibus impressis initium est Psalmi XC. R. — Anglus: „Mscr. ἑβδόμῳ, contra rei veritatem. Legendum: ἐννάτῳ.“ — Ad quae quidem Angli verba Ruaeus haec respondet: „An legendum sit: ἐννάτῳ, non ante certum erit, quam constiterit citata verba, ut nunc, sic olim initium fuisse Psalmi XC.“

[1]) Cfr. Psalm. XC, 1. 2. (LXXXIX.)

[2]) Post „οἰκουμένην,“ in Cod. Mscr. hiatus est unius et semilineae. R.

[3]) Sic habet Cod. Mscr. Male vero ed. Oxoniensis: „ὅτε.“ R. [4]) Cfr. Ephes. I, 4. 5.

[5]) Anglus: Nullus ex his efficitur sensus; atque vitiose scripta mihi videntur „ἐκ τῶν“ pro: „ἐν Χριστῷ.“ Haec enim ad locum apte quadrant, in quo respicit plane Origenes ad Apostoli verba supra citata: „ἐξελέξατο αὐτοὺς ἐν Χριστῷ πρὸ καταβολῆς κόσμου.“

[6]) Corrigit Bentlejus: „ἐξειλεγμένων.“ R.

[7]) Ita Cod. Mscr., in quo male legit editor Oxoniensis: „εὕρηται.“ R.

[8]) Cfr. Rom. VIII, 29. 30.

τί εὐχόμενος πεφρόντικε περὶ τοῦ πότερόν ποτε εἰσακουσθήσεται, ἢ μὴ, πρὸ πολλῶν γενεῶν ὀνομαστὸς [1]) προφητευθεὶς, καὶ περὶ τοῦ ὅ, τί ποτε πράξει οὐ μόνον προγνωσθεὶς, ἀλλὰ δὲ εἰς ἐπήκοον πολλῶν προῤῥηθείς; Ἵνα τί δὲ καὶ Ἰούδας προσεύχεται, ὥστε καὶ τὴν προσευχὴν [2]) αὐτοῦ γενηθῆναι εἰς ἁμαρτίαν, ἀπὸ τῶν Δαυὶδ χρόνων προκηρυχθεὶς ὡς ἀπολέσων τὴν ἐπισκοπὴν, ἑτέρου ληψομένου ἀντ᾽ αὐτοῦ αὐτήν; Αὐτόθεν δὲ ἀπεμφαίνει, ἀτρέπτου ὄντος τοῦ θεοῦ, καὶ τὰ ὅλα προκατειληφότος, μένοντός τε ἐν τοῖς προδιατεταγμένοις, εὔχεσθαι, οἰόμενον [3]) μετατρέψειν διὰ τῆς εὐχῆς αὐτοῦ τὴν πρόθεσιν, ἢ [4]) ὡς μὴ προδιαταξαμένῳ, ἀλλὰ περιμένοντι τὴν ἑκάστου εὐχὴν ἐντυγχάνειν, ἵνα διὰ τὴν εὐχὴν διατάξηται τὸ πρέπον τῷ εὐχομένῳ, τότε τάσσων τὸ δοκιμαζόμενον [5]) εἶναι εὔλογον οὐ πρότερον αὐτῷ τεθεωρημένον. Κείσθω δὲ ἐν τοῖς παροῦσιν αὐταῖς λέξεσιν, ἅπερ διὰ τῶν πρός με γραμμάτων ἔταξας, οὕτως ἔχοντα. Πρῶτον· εἰ προγνώστης ἐστὶν ὁ θεὸς τῶν μελλόντων, καὶ δεῖ αὐτὰ γίνεσθαι, ματαία ἡ προσευχή. Δεύτερον· εἰ πάντα κατὰ βούλησιν θεοῦ γίνεται, καὶ ἀραρότα αὐτοῦ ἐστι τὰ βουλεύματα, καὶ οὐδὲν τραπῆναι ὧν βούλεται δύναται, ματαία ἡ προσευχή. Χρήσιμα δὲ, ὡς οἶμαι, ταῦτα πρὸς λύσιν τῶν

---

[1]) Lego cum Bentlejo: „ὀνομαστί." R. — Item fere Anglus. [2]) Cfr. Psalm. CIX, 7. 8. (CVIII.)

[3]) Bentlejo scribendum videtur: „οἰόμενον ἢ μετατρέψειν" κτλ. R.

[4]) Edd. Oxon. et Ruaei in textu: „εἰ ὡς μή" κτλ., ed. tamen R. in notis: „Bentlejo scribendum videtur: ἢ ὡς μή" κτλ. — Item fere Anglus: „Lege: ἢ ὡς,, quod ipsa flagitat sententia."

[5]) Edd. Oxon. et Ruaei in textu: „δοκιμάζον," ed. vero R. in notis: „Legit Bentlejus: δοκιμαζόμενον." — Item fere Anglus: Lege: „τὸ δοκιμασθέν," vel: „ὃ δοκιμάζει."

ἀποναρκᾷν πρὸς τὸ εὔχεσθαι ποιούντων, προδιαληπτέον.[1])

6. Τῶν κινουμένων τὰ μέν τινα τὸ κινοῦν ἔξωθεν ἔχει, ὥσπερ τὰ ἄψυχα, καὶ ὑπὸ ἕξεως μόνης συνεχόμενα· καὶ τὰ ὑπὸ φύσεως καὶ ψυχῆς κινούμενα, οὐχ ᾗ τοιαῦτα ἐσθ' ὅτε κινούμενα, ἀλλ' ὁμοίως τοῖς ὑπὸ ἕξεως μόνης συνεχομένοις. Λίθος[2]) γὰρ καὶ ξύλα τὰ ἐκκοπέντα τοῦ μετάλλου, ἢ[3]) τὸ φύειν ἀπολωλεκότα, ὑπὸ ἕξεως μόνης συνεχόμενα, τὸ κινοῦν ἔξωθεν ἔχει. Ἀλλὰ καὶ τὰ τῶν ζώων σώματα, καὶ τὰ φορητὰ τῶν πεφυτευμένων, ὑπό τινος μετατιθέμενα, οὐχ ᾗ ζῶα καὶ φυτὰ μετατίθεται, ἀλλ' ὁμοίως λίθοις καὶ ξύλοις τοῖς τὸ φύειν ἀπολωλεκόσι, κἂν κινῆται[4]) καὶ ταῦτα, τῷ ῥευστὰ εἶναι πάντα τὰ σώματα, φθίνονται, καὶ παρακολουθητικὴν ἔχει τὴν ἐν τῷ φθίνειν κίνησιν.

---

[1]) Anglus: In Cod. Mscr. legitur: „προσδιαληπτέον," uti habet ed. Oxon., superscribitur vero ab eadem manu: „προδιαληπτέον," quod loco certe aptius est.

[2]) Anglus: Lege: „λίθοι."

[3]) Anglus: „Lege: καί. Totus vero locus sic fortasse est legendus: Λίθοι γὰρ, καὶ ξύλα, καὶ τὰ ἐκκοπέντα μέταλλα, τὰ τὸ φύειν ἀπολωλεκότα, κτλ. Ita paulo post: λίθοις καὶ ξύλοις, τοῖς τὸ φύειν ἀπολωλεκόσι."

[4]) Edd. Oxon. et Ruaei, illa: „κἂν κινῆτε, καὶ ταῦτα τῷ — σώματα φθίνονται, παρακολουθητικὴν ἔχει," haec: „κἂν κινῆτε καὶ ταῦτα, τῷ — σώματα, φθίνονται παρακολουθητικὴν ἔχει." Ed. vero R. in notis: „Bentlejus legit: φθίνῃ τε καὶ ταῦτα, τῷ — σώματα, φθίνοντι παρακολουθητικὴν ἔχει. Dominus Claudius Fleury pro: κινῆτε, legit: κινῆται, et ante: παρακολουθητικήν, addit καί." — Anglus: „Lege: κινῆται. Corruptus vero est totus hic locus, quem ego sic emendandum arbitror: ἀπολωλεκόσι, κἂν κινῆται καὶ ταῦτα, τῷ ῥευστὰ εἶναι πάντα τὰ σώματα, καὶ φθίνοντα παρακολουθητικὴν ἔχειν τὴν ἐν τῷ φθίνειν κίνησιν. Δεύτερον" κτλ.

Δεύτερα [1]) δὲ παρὰ ταῦτά ἐστι κινούμενα, τὰ ὑπὸ τῆς ἐνυπαρχούσης φύσεως ἢ [2]) ψυχῆς κινούμενα· ἃ καὶ ἐξ αὐτῶν [3]) κινεῖσθαι λέγεται παρὰ τοῖς κυριώτερον χρωμένοις τοῖς ὀνόμασι. Τρίτη δέ ἐστι κίνησις ἡ ἐν τοῖς ζώοις, ἥτις ὀνομάζεται ἡ [4]) ἀφ᾽ αὐτῶν κίνησις. Οἶμαι δὲ, ὅτι ἡ τῶν λογικῶν κίνησις, δι᾽ αὐτῶν ἐστι κίνησις. Ἐὰν δὲ περιέλωμεν ἀπὸ τοῦ ζώου τὴν [5]) ἀφ᾽ αὐτου κίνησιν, οὐδὲ ζῶον ἔτι ὂν ὑπονοηθῆναι δύναται, ἀλλὰ ἔσται ὅμοιον ἤτοι φυτῷ ὑπὸ φύσεως μόνης κινουμένῳ, ἢ λίθῳ ὑπό τινος ἔξωθεν φερομένῳ. Ἐὰν δὲ παρακολουθῇ [6]) τι τῇ ἰδίᾳ κινήσει, ἐπεὶ [7]) τοῦτο δι᾽ αὐτοῦ κινεῖσθαι ὠνομάσαμεν, ἀνάγκη τοῦτο εἶναι λογικόν. Οἱ τοίνυν θέλοντες μηδὲν εἶναι ἐφ᾽ ἡμῖν, ἀναγκαίως

---

[1]) Sic habet Cod. Mscr. Editio autem Oxoniensis: „Δεύτερον." R. — Cfr. pag. 107. not. 4.

[2]) Anglus: „Lege: καὶ ψυχῆς, sicut supra." — Cfr. num. 6. lin. 3.

[3]) Edd. Oxon. et Ruaei: „ἐξ αὐτῶν," Anglus vero: „ἐξ αὑτῶν."

[4]) Edd. Oxon. et Ruaei: „ἡ ἀπ᾽ αὐτοῦ," ed. vero R. in notis: „Lego cum Bentlejo: ἀπ᾽ αὐτῶν." — Anglus: „Lege hic, et paulo post: ἀφ᾽ αὑτοῦ. Sic cap. I. lib. III. de Principiis: ἀφ᾽ ἑαυτῶν." — Ad quae quidem Angli verba Ruaeus haec respondet: „Bentlejus pro: ἀπ᾽ αὐτοῦ, mallet: ἀπ᾽ αὐτῶν, vel: ἀφ᾽ αὑτῶν, quod est: ἀφ᾽ ἑαυτῶν."

[5]) Edd. Oxon. et Ruaei in textu: „τὴν ἀπ᾽ αὐτοῦ," ed vero R. in notis: „Bentlejus iterum mallet: τὴν ἀπ᾽ αὐτῶν." — Cfr. pag. huj. not. 4.

[6]) Edd. Oxon. et Ruaei in textu: „παρακολουθῇ τις," ed. vero R. in notis: „Legit Bentlejus: παρακολουθῇ τι τῇ ἰδίᾳ κινήσει." — Item fere Anglus: „Lege: παρακολουθῇ τι. Id enim flagitant sequentia: ἀνάγκη τοῦτο εἶναι λογικόν."

[7]) Legit Bentlejus: „ἐπεὶ τοῦτο δι᾽ αὐτῶν κινεῖσθαι." R.

ἠλιθιώτατόν τι παραδέξονται· πρῶτον [1]) μὲν, ὅτι οὐκ ἐσμὲν ζῶα, δεύτερον δὲ, ὅτι οὐδὲ λογικά· ἀλλ' οἷον ὑπὸ ἔξωθεν κινοῦντος αὐτοὶ οὐδαμῶς κινούμενοι, ποιεῖν ὑπ' ἐκείνου λεγοίμεθα, ἃ ποιεῖν νομιζόμεθα. Ἄλλως τε καὶ τοῖς ἰδίοις πάθεσιν ἐπιστήσας τις ὁράτω, εἰ μὴ ἀναιδῶς ἐρεῖ, μὴ αὐτὸς θέλειν, καὶ μὴ αὐτὸς ἐσθίειν, καὶ μὴ αὐτὸς περιπατεῖν, μηδὲ αὐτὸς συγκατατίθεσθαι καὶ παραδέχεσθαι ὁποῖα δήποτε τῶν δογμάτων, μηδὲ αὐτὸς ἀνανεύειν πρὸς ἕτερα ὡς ψευδῆ. Ὥσπερ οὖν πρός τινα δόγματα ἀμήχανον διατεθεῖσθαι [2]) ἄνθρωπον, κἂν μυριάκις αὐτὰ κατασκευάζῃ εὑρεσιλογῶν, καὶ πιθανοῖς λόγοις χρώμενος· οὕτως ἀδύνατον διατεθεῖσθαί τινα περὶ τῶν ἀνθρωπίνων, ὡς μηδαμῶς τοῦ ἐφ' ἡμῖν σωζομένου. Τίς [3]) γὰρ διάκειται περὶ τοῦ μηδὲν εἶναι καταληπτὸν, ἢ οὕτως βιοῖ, ὡς ἐπέχων περὶ παντὸς οὑτινοσοῦν; Τίς δὲ οὐκ ἐπιπλήττει, φαντασίαν ἁμαρτήσαντος οἰκέτου λαβὼν, τῷ θεράποντι; Καὶ τίς ἐστιν, ὃς μὴ αἰτιᾶται υἱὸν τὸ πρὸς γονεῖς καθῆκον μὴ ἀποδιδόντα; ἢ μὴ μέμφεται καὶ ψέγει ὡς αἰσχρὸν πεποιηκυῖαν τὴν μεμοιχευμένην; Βιάζεται γὰρ ἡ ἀλήθεια καὶ ἀναγκάζει, κἂν μυριάκις τις εὑρεσιλογῇ, ὁρμᾷν καὶ ἐπαινεῖν καὶ ψέγειν· ὡς τηρουμένου τοῦ ἐφ' ἡμῖν, καὶ τούτου ἐπαινετοῦ ἢ ψεκτοῦ γινομένου παρ' ἡμᾶς. Εἰ δὴ [4]) τὸ ἐφ' ἡμῖν σώζεται, μυρίας ὅσας ἀπονεύσεις [5]) ἔχον πρὸς ἀρετὴν, ἢ κακίαν, καὶ πάλιν ἢ πρὸς τὸ καθῆκον, ἢ πρὸς τὸ παρὰ τὸ καθῆκον· ἀναγ-

---

[1]) Bentlejus locum integrum sic legit: „πρῶτον μὲν, ὅτι οὐκ ἐσμὲν λογικὰ, δεύτερον δὲ, ὅτι οὐδὲ ζῶα, ἀλλ' οἷον ὑπὸ ἔξωθεν κινοῦντος, αὐτοὶ δ' ἀπ' αὐτῶν οὐδαμῶς κινούμενοι.“ R.

[2]) Sic habet hoc loco et infra Cod. Mscr., perperam vero utrobique ed. Oxoniensis: „διατεθῆναι.“ R.

[3]) Anglus: „Legendum opinor: *Τίς γὰρ οὕτως διάκειται.*“ [4]) Anglus: „Lege: δέ.“

[5]) Bentlejus legit: „ἐπινεύσεις. ἢ ἀπονεύσεις ἔχον.“ R.

καίως τοῦτο μετὰ τῶν λοιπῶν, πρὶν γένηται, τῷ Θεῷ ἔγνωσται ἀπὸ κτίσεως καὶ καταβολῆς κόσμου, ὁποῖον ἔσται· καὶ ἐν πᾶσιν οἷς προδιατάσσεται ὁ Θεὸς, ἀκολούθως [1]) ὡς ἑώρακε περὶ ἑκάστου ἔργου τῶν ἐφ᾽ ἡμῖν, προδιατέτακται κατ᾽ ἀξίαν ἑκάστῳ κινήματι τῶν ἐφ᾽ ἡμῖν τὸ καὶ ἀπὸ τῆς προνοίας αὐτῷ ἀπαντησόμενον, ἔτι δὲ καὶ κατὰ τὸν εἱρμὸν τῶν ἐσομένων συμβησόμενον· οὐχὶ τῆς προγνώσεως τοῦ Θεοῦ αἰτίας γινομένης τοῖς ἐσομένοις πᾶσι, καὶ ἐκ τοῦ ἐφ᾽ ἡμῖν κατὰ τὴν ὁρμὴν ἡμῶν ἐνεργηθησομένοις. Εἰ γὰρ καὶ καθ᾽ ὑπόθεσιν μὴ γινώσκοι ὁ Θεὸς τὰ ἐσόμενα, οὐ παρὰ τοῦτο ἀπειλοῦμεν [2]) τὸ τάδε τινὰ ἐνεργήσειν, καὶ τάδε θελήσειν· πλέον [3]) δὲ ἀπὸ τῆς προγνώσεως γίνεται τὸ [4]) κατάταξιν λαμβάνειν εἰς τὴν τοῦ παντὸς διοίκησιν χρειώδη τῇ τοῦ κόσμου καταστάσει τὸ ἑκάστου ἐφ᾽ ἡμῖν. Εἰ τοίνυν τὸ ἑκάστου ἐφ᾽ ἡμῖν αὐτῷ ἔγνωσται, καὶ διὰ τοῦτο προεωραμένον αὐτῷ, διατάττεται [5]) ἀπὸ τῆς προνοίας τὸ κατ᾽ ἀξίαν παντί [6]) τῷ εὔλογον· καὶ τὸ τί εὔξηται· [7]) ποίαν διάθεσιν ἔχων ὁ δεῖνα οὕτως πιστεύων· καὶ τί βουλόμενος αὐτῷ γενέσθαι, προκατείληπται· [8])

---

[1]) Legit Bentlejus: „ἀκολούθως οἷς ἑώρακε." R.

[2]) Bentlejus legit: „ἀπολοῦμεν." R.

[3]) Anglus: „Legit: πλήν."

[4]) Ed. Oxoniensis: „τὸ κατὰ τάξιν λαμβάνειν."

[5]) Locum integrum sic legit Bentlejus: „διατάττεσθαι ἀπὸ τῆς προνοίας τὸ κατ᾽ ἀξίαν παντί τῷ εὔλογον· καὶ τὸ τί εὔξηται· ποίαν διάθεσιν ἔχων ὁ δεῖνα· πῶς πιστεύων· καὶ τί βουλόμενος αὐτῷ γενέσθαι, προκατειλῆφθαι." R. — Anglus: „Lege: διατέτακται, ut conveniat tempore cum ἔγνωσται."

[6]) Edd. Oxon. et Ruaei, illa: „παντὶ τῷ," haec: „παντὶ τό." — Cfr. pag. huj. not. 5.

[7]) Anglus: „Lege: εὔξεται, καὶ ποίαν." — Ad quae quidem Angli verba Ruaeus haec recte respondet: „Legi εὔξεται pro εὔξηται nihil postulat; imo legendum: εὔξηται."

[8]) Anglus: „In Cod. quidem scribitur: προκατεί-

οὗ προκαταληφθέντος, καὶ τοιοῦτόν τι ἀκολούθως ἐν τῇ διατάξει τετάξεται, ὅτι τοῦδε μὲν ἐπακούσομαι συνετῶς[1]) *εὐξομένου, δι' αὐτὴν τὴν εὐχὴν, ἣν εὔξεται· τοῦδε*[2]) *δὲ οὐκ ἐπακούσομαι, ἤτοι διὰ τὸ ἀνάξιον αὐτὸν*[3]) *ἔσεσθαι τοῦ ἐπακουσθήσεσθαι, ἢ διὰ τὸ ταῦτα αὐτὸν εὔξασθαι,*[4]) *ἃ μήτε τῷ εὐχομένῳ λυσιτελεῖ λαβεῖν, μήτε ἐμοὶ πρέπον παρασχεῖν· καὶ κατὰ τήνδε μὲν τὴν εὐχὴν, φέρε εἰπεῖν, τοῦ δεῖνος, οὐκ ἐπακούσομαι αὐτοῦ· κατὰ*[5]) *τοῦδε δὲ ἐπακούσομαι. Ἐὰν δέ τις ταράττηται, διὰ τὸ μὴ οὐ ψεύσασθαι τὸν θεὸν τὰ μέλλοντα προεγνωκότα, ὡς τῶν πραγμάτων κατηναγκασμένων· λεκτέον πρὸς τὸν τοιοῦτον, ὅτι αὐτὸ τοῦτο τῷ θεῷ ἔγνωσται ἀραρότως, τὸ μὴ ἀραρότως τόνδε*[6]) *τινὰ τὸν ἄνθρωπον καὶ βεβαίως βούλεσθαι*[7]) *τὰ κρείττονα, ἢ οὕτω θελήσειν τὰ χείρονα· ὥστε ἀνεπίδεκτον αὐτὸν ἔσεσθαι μεταβολῆς τῆς ἐπὶ τὰ συμφέροντα. Καὶ πάλιν τάδε μέν τινα ποιήσω τῷδε εὐξομένῳ·*[8]) *ἐμοὶ*

ληπται, sicut habet ed. Oxoniensis. Id vero ab eadem manu in margine corrigi videtur, verbo sic dimidiato: *κατειλῆ*, unde nos confecimus: *προκατειλῆφθαι*, quod et syntaxis plane postulat, scil. *παντί τῷ εὔλογον, καὶ τὸ, τί εὔξεται —, προκατειλῆφθαι.*" — Cfr. pag. 110. not. 5.

1) Forte legendum: „*συνεχῶς.*" R.

2) Ed. Oxoniensis: „*τοῦ δὲ οὐκ ἐπακούσομαι.*"

3) Deest „*αὐτόν*" in ed. Ruaei, legitur vero in ed. Oxoniensi.

4) Lege cum Bentlejo: „*εὔξεσθαι.*" R. — Item fere Anglus: „Lege: *εὔξεσθαι*, in futuro, sicut ante: *ἔσεσθαι.*"

5) Scribit Bentlejus: „*κατὰ τήνδε δὲ ἐπακούσομαι.*" R. — Item fere Anglus: „Lege: *τήνδε*, scil. *εὐχήν.*"

6) Sic recte habet Cod. Mscr., in quo male legit editor Oxoniensis: „*τὸν δή τινα.*" R.

7) Anglus: „Lege: *βουλήσεσθαι*, de futuro enim agitur."

8) Ed. Oxon. „*εὐξαμένῳ,*" ed. R., ut nos, in textu: „*εὐξομένῳ,*" in notis vero: „Ita hoc loco, et infra bis scriptum reperitur in Cod. Mscr., in quo male antea lectum est: *εὐξαμένῳ.*"

γὰρ τοῦτο πρέπον ἐστὶν, οὐ ψεκτῶς μοι εὐξομένῳ, [1]) οὐδὲ ἀμελῶς περὶ τὴν εὐχὴν ἀναστραφησομένῳ· τῷ δὲ ἐπὶ [2]) ποσὸν εὐξομένῳ, [3]) ὑπερεκπερισσοῦ [4]) ὧν αἰτεῖται, ἢ νοεῖ, δωρήσομαι τάδε τινά· ἐμοὶ γὰρ τόνδε πρέπει νικᾷν ἐν ταῖς εὐποιΐαις, καὶ χορηγεῖν πλείονα ὧν αἰτῆσαι κεχώρηκε. Καὶ τῷδε μέν τινι τοιῷδε ἐσομένῳ τόνδε τὸν ἄγγελον λειτουργὸν ἐπιπέμψω, ἀπὸ τοῦδε ἀρξόμενον [5]) τοῦ χρόνου συνεργεῖν αὐτοῦ τῇ σωτηρίᾳ, καὶ μέχρι τοῦδε συνεσόμενον· τῷδε δὲ τόνδε, φέρε εἰπεῖν, τὸν τοῦδε τιμιώτερον, τῷ τοῦδε ἐσομένῳ κρείττονι. Τοῦδε δέ τινος μετὰ τὸ ἐπιδεδωκέναι ἑαυτὸν λόγοις τοῖς διαφέρουσιν ὑπεκλυθησομένου, καὶ παλινδρομήσοντος [6]) ἐπὶ τὰ ὑλικώτερα, ἀποστήσω τόνδε τὸν κρείττονα συνεργόν· οὗ ἀποστάντος, [7]) κατ' ἀξίαν αὐτόχειρ ὤν τις ἥδε ἡ δύναμις, καιρὸν εὑρηκυῖα τοῦ ἐπιβαίνειν τῇ ῥαθυμίᾳ, ἐπιστᾶσα ἐπὶ τάδε τινὰ τὰ ἁμαρτήματα αὐτὸν, ἕτοιμον ἑαυτὸν πρὸς τὸ ἁμαρτάνειν δεδωκότα, προκαλέσεται. Οὕτως οὖν ἤδη οἱονεὶ ἐρεῖ ὁ προδιατασσόμενος τὰ ὅλα· ὅτι Ἀμὼς γεννήσει τὸν Ἰωσίαν, ὅστις οὐ ζηλώσει τὰ τοῦ πατρὸς πταίσματα, ἀλλὰ τυχὼν τῆςδε τῆς ἐπ' ἀρετὴν προτρεπούσης ὁδοῦ διὰ τῶνδε τῶν συνεσομένων, καλὸς ἔσται καὶ ἀγαθὸς, ὅστις κατασκάψει τὸ τοῦ Ἱεροβοὰμ κακῶς οἰκοδομηθὲν θυσιαστήριον. Οἶδα δὲ καὶ Ἰούδαν, ἐπιδημήσαντός μου τοῦ υἱοῦ τῷ τῶν ἀνθρώπων γένει, κατὰ [8]) μὲν τὰς

[1]) Ed. Oxoniensis: „εὐξαμένῳ." — Cfr. pag. 111. not. 8

[2]) Mallet Bentlejus: „ἐπὶ τόσον." R.

[3]) Ed. Oxoniensis: „εὐξαμένῳ." — Cfr. pag. 111. not. 8.

[4]) Cfr. Ephes. III, 20.

[5]) Ed. Oxoniensis: „ἀρξάμενον."

[6]) Male ed. Oxoniensis: „παλινδρομήσαντος." R.

[7]) Legit Bentlejus: „ἀποστάντος κατ' ἀξίαν αὐτοῦ χείρων τις ἥδε ἡ δύναμις." R.

[8]) Anglus: „Haec fortasse invertit librarius; nam ordo certe melior est: κατὰ τὰς μὲν ἀρχὰς ἐσόμενον."

ἀρχὰς ἐσόμενον καλὸν καὶ ἀγαθὸν, ὕστερον δὲ ἐκτραπησόμενον, καὶ εἰς τὰ ἀνθρώπινα ἁμαρτήματα ἐκπεσούμενον· ὅντινα ἐπὶ τούτοις εὔλογον ἔσται παθεῖν τάδε τινά. Ἡ δὲ πρόγνωσις αὕτη τάχα μὲν ἐπὶ πάντων, πάντως δὲ ἐπὶ Ἰούδα, καὶ ἑτέρων μυστηρίων, καὶ ἐν τῷ υἱῷ τοῦ θεοῦ γίνεται, ἑωρακότι τῇ κατανοήσει τοῦ ἐξελιγμοῦ [1]) τῶν ἐσομένων, τὸν Ἰούδαν καὶ τὰ ἁμαρτήματα τὰ ἁμαρτηθησόμενα αὐτῷ· ὥστε μετὰ καταλήψεως αὐτὸν, καὶ πρὶν γενέσθαι τὸν Ἰούδαν, διὰ τοῦ Δαυὶδ εἰρηκέναι· „ὁ [2]) θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς," καὶ τὰ ἑξῆς. Εἰδὼς δὲ τὰ μέλλοντα, καὶ ὁποῖον τόνον ἕξει πρὸς τὴν θεοσέβειαν ὁ Παῦλος, ἐν [3]) ἐμαυτῷ μὲν, πρὶν κτίσαι τὸν κόσμον, ἐπιβαλλόμενος τῇ ἀρχῇ τῆς κοσμοποιΐας, αὐτὸν ἐπιλέξομαι· καὶ ταῖσδε συνεργούσαις ἀνθρώπων σωτηρίᾳ δυνάμεσιν, ἅμα τῷ γεννηθῆναι παραθήσομαι, ἀφορίζων [4]) αὐτὸν ἐκ κοιλίας μητρὸς, καὶ ἐπιτρέπων κατὰ τὰς ἀρχὰς ἐν νεότητι ζήλῳ μετὰ ἀγνοίας ἐγγινομένῳ, προφάσει θεοσεβείας διώκειν τοὺς εἰς τὸν Χριστόν μου πεπιστευκότας, καὶ τηρεῖν [5]) τὰ ἱμάτια τῶν λιθοβολούντων τὸν θεραπευτήν μου καὶ μάρτυρα Στέφανον· ἵνα νεανιευσάμενος, ὕστερον ἀφορμῆς λαβόμενος καὶ μεταβαλόμενος [6]) ἐπὶ τὰ βέλτιστα, μὴ καυχήσηται ἐνώπιον ἐμοῦ, ἀλλὰ λέγῃ· [7]) „οὐκ [8]) εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος,

---

[1]) Edd. Oxon. et Ruaei in textu: „ἐξελεγμοῦ," ed. vero R. in notis: „Bentlejus legit: ἐξελιγμοῦ."

[2]) Psalm. CIX, 1. (CVIII.)

[3]) Anglus: „Vitiose hoc mihi scriptum videtur pro: ἐν ἐμῷ υἱῷ, vel pro: ἐν ἐμοῦ τῷ Χριστῷ."

[4]) Cfr. Gal. I, 15. [5]) Cfr. Act. XXII, 20.

[6]) Edd. Oxon. et Ruaei: „μεταβαλλόμενος." — Anglus: „Lege: μεταβαλόμενος."

[7]) Edd. Oxon. et R. in textu: „λέγει," ed. vero R. in notis: „Legit Bentlejus: λέγῃ." — Item fere Anglus.

[8]) I Cor. XV, 9.

διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ·“ καὶ αἰσθόμενος τῆς ἐσομένης μου εἰς αὐτὸν εὐεργεσίας μετὰ τὰ ἐν νεότητι προφάσει θεοσεβείας πταίσματα, εἴπῃ·[1] „χάριτι[2] δὲ θεοῦ εἰμι ὅ εἰμι·“ καὶ κωλυόμενος δὲ ὑπὸ τοῦ συνειδότος διὰ τὰ ὑπὸ νεανίου αὐτοῦ ἔτι τυγχάνοντος πεπραγμένα κατὰ Χριστοῦ, οὐχ ὑπερεπαρθήσεται[3] τῇ ὑπερβολῇ τῶν ἐπ' εὐεργεσίᾳ φανερωθησομένων αὐτῷ ἀποκαλύψεων.

7. Καὶ πρὸς τὸ περὶ τῆς ἐπὶ[4] τῷ ἀνατέλλειν τὸν ἥλιον εὐχῆς, ταῦτα λεκτέον. Ἔστι τι καὶ τοῦ ἡλίου ἐφ' ἡμῖν, καὶ αὐτοῦ αἰνοῦντος μετὰ τῆς σελήνης τὸν θεόν· „αἰνεῖτε[5] γὰρ αὐτὸν, φησὶν, ἥλιος καὶ σελήνη.“ Δῆλον δ' ὅτι καὶ τῆς σελήνης, καὶ ἀκολούθως πάντων τῶν ἀστέρων· „αἰνεῖτε[6] γὰρ αὐτὸν, φησὶ,[7] πάντα τὰ ἄστρα καὶ τὸ φῶς.“ Ὥσπερ οὖν εἰρήκαμεν[8] τῷ[9] ἐφ' ἡμῖν ἑκάστου τῶν ἐπὶ γῆς καταχρώμενον τὸν θεὸν, εἴς τινα χρείαν τῶν ἐπὶ γῆς κατατεταχέναι εἰς δέον αὐτά· οὕτως ὑποληπτέον, τῷ[10] ἐφ' ἡμῖν ἡλίου καὶ σελήνης καὶ ἄστρων ἀραιότι καὶ βεβαίῳ ὄντι καὶ σταθηρῷ καὶ σοφῷ διατεταχέναι πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, καὶ τὴν τῶν ἄστρων ἁρμονίως[11] τῷ παντὶ

---

[1]) Sic habet Cod. Mscr. Male autem ed. Oxoniensis: „εἶπε.“ R. [2]) I Cor. XV, 10.

[3]) Cfr. II Cor. XII, 7.

[4]) Sic Cod. Mscr. Male vero ed. Oxoniensis: „ἐπὶ τὸ ἀνατέλλειν.“ R. [5]) Psalm. CXLVIII, 3.

[6]) Psalm. CXLVIII, 3.

[7]) Deest in edd. Oxon. et Ruaei: „φησί.“ — Anglus: „Lege: αὐτὸν, φησὶ, πάντα, sicut in antecedentibus.“

[8]) Cfr. num. 6.

[9]) Edd. Oxon. et R. in textu: „τὸ ἐφ' ἡμῖν,“ ed. vero R. in notis: „Legit Bentlejus: τῷ ἐφ' ἡμῖν.“ — Item fere Anglus.

[10]) Anglus: „Vel addendum, vel subaudiendum saltem est: καταχρώμενον.“

[11]) Bentlejus legit: „ἁρμοδίως.“ R.

πορείαν καὶ κίνησιν. Καὶ εἰ περὶ τοῦ ἐφ' ἡμῖν ἑτέρου [1]) μὴ μάτην εὔχομαι, πολλῷ πλέον περὶ τοῦ ἐφ' ἡμῖν τῶν ἐν οὐρανῷ σωτηρίως τῷ παντὶ χορευόντων ἀστέρων· καί τοί γε ἔστιν εἰπεῖν περὶ τῶν ἐπὶ γῆς, ὅτι τοιαίδε τινὲς προγενόμεναι [2]) ἐκ τῶν περιεστώτων φαντασίαι προκαλοῦνται τὸ ἀβέβαιον ἡμῶν, ἢ τὸ ἐπὶ τὸ κρεῖττον [3]) ῥεπτικὸν ἡμῶν πρὸς τὸ ποιῆσαι ἢ εἰπεῖν τάδε τινά, ἢ τάδε. Ἐπὶ δὲ τῶν ἐν οὐρανῷ, ποία [4]) δύναται ἐγγενομένη φαντασία ἐκστῆσαι καὶ μετακινῆσαι ἀπὸ τῆς ὠφελίμου τῷ κόσμῳ πορείας; ἑκάστου [5]) αὐτῶν τοιαύτην ψυχὴν ὑπὸ λόγου κατηρτισμένην, καὶ [6]) παρὰ τὴν αὐτῶν αἰτίαν ἐχόντων, καὶ τοιούτῳ σώματι αἰθερίῳ καὶ καθαρωτάτῳ χρωμένων.

---

[1]) Bentlejus legit: „ἡμετέρου." R. — Fusius et, ut videtur, satis recte Anglus: „Loco minus apta videtur vox ἑτέρου; nam quis, quaeso, est iste ἕτερος, de cujus ἐφ' ἡμῖν hic gloriatur Origenes? Non alius, ut opinor, quam, quod supra dixit: ἕκαστος τῶν ἐπὶ γῆς, seu hominum quilibet. Quocirca pro ἑτέρου legendum arbitror: ἡμετέρου, ut sit: περὶ τοῦ ἐφ' ἡμῖν ἡμετέρου, *de nostro*, hominum scil., *libero arbitrio*. Hoc enim est, de quo in superioribus εὔχεται num. 6., et quod hic opponit τῷ ἐφ' ἡμῖν τῶν ἐν οὐρανῷ. Syllaba vero ἡμ in similis vocis ἡμῖν concursu amissa est."

[2]) Bentlejus legit: „παραγενόμεναι." R.

[3]) Bentlejus legit: „χεῖρον." R. — Item fere, nec male, ut videtur, Anglus: „Legas oportet e contrario: χεῖρον. Id enim locus ipse demonstrat."

[4]) Edd. Oxon. et Ruaei: „ποῖα."

[5]) Edd. Oxon. et Ruaei in textu: „ἕκαστον τῶν τοιαύτην," ed. vero R. in notis: „Bentlejus legit: ἑκάστου αὐτῶν τοιαύτην."

[6]) Edd. Oxon. et Ruaei in textu: „καὶ περὶ τὴν αὐτῶν," ed. vero R. in notis: „καὶ παρὰ τὴν αὐτῶν." — Item fere Anglus: „Legendum est plane, sicut num. 29. καὶ παρὰ τὴν αὐτῶν, hoc est: ἐκ τοῦ ἐν αὐτοῖς αὐτεξουσίου."

8. Ἔτι δὲ οὐκ ἄλογον καὶ τοιούτῳ τινὶ παραδείγματι χρήσασθαι, πρὸς τὸ προτρέψασθαι ἐπὶ τὸ εὔξασθαι, καὶ ἀποτρέψασθαι τοῦ ἀμελεῖν τῆς [1]) εὐχῆς. Ὥσπερ οὐκ ἔστι παιδοποιήσασθαι χωρὶς γυναικὸς καὶ τῆς εἰς παιδοποιΐαν χρησίμου παραλαμβανομένης ἐνεργείας· οὕτως τῶνδέ τινων οὐκ ἄν τις τύχοι μὴ οὕτως εὐξάμενος [2]) μετὰ διαθέσεως τοιᾶσδε, πιστεύων οὕτως, οὐ [3]) πρὸ τῆς εὐχῆς τόνδε βιώσας τὸν τρόπον. Οὐ βαττολογητέον οὖν, οὐδὲ μικρὰ αἰτητέον, οὐδὲ περὶ ἐπιγείων προσευκτέον, οὐδὲ μετὰ ὀργῆς καὶ τεταραγμένων λογισμῶν ἐπὶ τὴν προσευχὴν ἐλθετέον· ἀλλ' οὐδὲ χωρὶς καθαρεύσεώς ἐστιν ἐπινοῆσαι γινομένην τῇ προσευχῇ σχολήν· ἀλλ' οὐδὲ ἀφέσεως ἁμαρτημάτων οἷόν τε τυχεῖν τὸν εὐχόμενον, μὴ ἀπὸ τῆς καρδίας ἀφιέντα τῷ πεπλημμεληκότι καὶ συγγνώμης τυχεῖν ἀξιοῦντι ἀδελφῷ. Ὠφέλειαν δὲ ἐγγίνεσθαι τῷ ὃν δεῖ τρόπον εὐχομένῳ, ἢ ἐπὶ τοῦτο κατὰ τὸ δυνατὸν ἐπειγομένῳ, πολλαχῶς ἡγοῦμαι συμβαίνειν. Καὶ πρῶτόν γε πάντως ὤνατό τι ὁ πρὸς [4]) τὸ εὔξασθαι ταθεὶς κατὰ τὸν νοῦν, δι' αὐτῆς τῆς ἐν τῷ εὔχεσθαι καταστάσεως θεῷ παρεστάναι ἑαυτὸν, καὶ [5]) ἐκείνῳ λέγειν σχηματίσας, ὡς ἐφορῶντι καὶ παρόντι. [6]) Ὥσπερ γὰρ αἱ τοιαίδε φαν-

---

[1]) Edd. Oxon. et R. in textu: „τὴν εὐχήν," ed. vero R. in notis: „Bentlejus legit: τῆς εὐχῆς."

[2]) Ed. Oxoniensis: „εὐξάμενος, μετὰ διαθέσεως τοιᾶσδε πιστεύων οὕτως."

[3]) Anglus: „Ita librarii incuria scriptum pro: καί, quod sententia plane postulat."

[4]) Legit Bentlejus: „πρὸς τῷ εὔξασθαι." Scribendum aliis videtur: „πρὸ τοῦ εὔξασθαι." R.

[5]) Ed. Oxoniensis: „καὶ παρόντι ἐκείνῳ" κτλ. — Eadem verba Anglus quoque, cfr. pag. huj. not. 6., ante oculos habuit.

[6]) Anglus: „Hoc per scribae incuriam repetitum videtur ex praecedentibus; pro quo legendum opinor: ἀκούοντι. Ita enim infra: παρόντι καὶ ἀκούοντι παρεστήκασι θεῷ."

τασίαι καὶ ὑπομνήσεις, τῶνδέ τινων περὶ τὰ ὧν γεγόνασιν αἱ ὑπομνήσεις, μολύνουσι τοὺς λογισμοὺς τοὺς ἐν ταῖσδε ταῖς φαντασίαις γεγενημένους· τὸν αὐτὸν τρόπον πειστέον, ὀνησιφόρον εἶναι μνήμην πεπιστευμένου [1]) τοῦ θεοῦ, καὶ κατανοοῦντος τὰ ἐν τῷ ἀδύτῳ τῆς ψυχῆς κινήματα· ῥυθμιζούσης ἑαυτὴν ἀρέσκειν ὡς παρόντι καὶ ἐποπτεύοντι καὶ φθάνοντι ἐπὶ πάντα νοῦν, τῷ ἐτάζοντι [2]) καρδίας καὶ ἐρευνῶντι νεφρούς. Ἵνα γὰρ καθ' ὑπόθεσιν μηδεμία [3]) ἔτι παρὰ ταύτην ὠφέλεια γένηται τῷ καταστήσαντι αὐτοῦ τὸν λογισμὸν εἰς τὸ εὔχεσθαι, οὐ τὸ τυχὸν ἐννοητέον λαβεῖν τὸν οὕτως εὐλαβῶς ἑαυτὸν ῥυθμίσαντα [4]) ἐν τῷ τῆς εὐχῆς καιρῷ. Τοῦτο δὲ γινόμενον πολλάκις, ὅσων ἀφίστησιν ἁμαρτημάτων, καὶ ἐφ' ὅσα φέρει κατορθωμάτων, ἴσασι τῇ πείρᾳ οἱ συνεχέστερον τῷ εὔχεσθαι ἑαυτοὺς ἐπιδεδωκότες. Εἰ γὰρ ὑπόμνησις καὶ ἀναπόλησις ἐλλογίμου ἀνδρὸς καὶ ὠφελημένου ἐν σοφίᾳ, ἐπὶ ζῆλον ἡμᾶς αὐτοῦ προκαλεῖται, καὶ πολλάκις ἐμποδίζει ὁρμὰς τὰς ἐπὶ τὸ χεῖρον· πόσῳ πλέον θεοῦ τοῦ τῶν ὅλων πατρὸς ὑπόμνησις μετὰ τῆς πρὸς αὐτὸν εὐχῆς, ὀνίνησι τοὺς πείσαντας ἑαυτοὺς, ὅτι παρόντι καὶ ἀκούοντι παρεστήκασι καὶ λέγουσι θεῷ;

9. Κατασκευαστέον δὲ ἀπὸ τῶν θείων γραφῶν τὰ εἰρημένα, τοῦτον τὸν τρόπον· ἐπαίρειν [5]) δεῖ ὁσίας [6]) χεῖρας τὸν εὐχόμενον, διὰ τοῦ ἀφιέναι [7]) ἑκάστῳ τῶν

---

[1]) Legendum videtur Bentlejo: „ἐφισταμένου," vel: „ἐπισταμένου." R. — Anglus: „Lege: παρισταμένου, id est, παρόντος, nam hoc poscit ipsa sententia."

[2]) Cfr. Psalm. VII, 9.

[3]) Ed. Oxoniensis: „μηδεμίαν."

[4]) Ed. Oxoniensis: „ῥυθμήσαντα."

[5]) Cfr. I Tim. II, 8.

[6]) Textus Vulgatus: „ὁσίους." R. — Anglus: „Paulo post Apostoli verba recitans legit: ὁσίους." Cfr. num. 3.

[7]) Cfr. Matth. VI, 14.

εἰς αὐτὸν πεπλημμεληκότων, τὸ τῆς ὀργῆς πάθος ἐξαφανίσαντα ἀπὸ τῆς ψυχῆς, καὶ μηδενὶ θυμούμενον. Πάλιν τε δεῖ, ὑπὲρ τοῦ μὴ ἐπιθολοῦσθαι τὸν νοῦν ὑπὸ ἑτέρων λογισμῶν, πάντων ἐπιλελῆσθαι τῶν ἔξω τῆς εὐχῆς κατὰ τὸν καιρὸν, ἐν ᾧ τις εὔχεται. Τοιοῦτον δὲ εἶναι, πῶς οὐκ ἔστι μακαριώτατον, ὡς διδάσκει Παῦλος ἐν τῇ προτέρᾳ πρὸς Τιμόθεον, λέγων· „βούλομαι [1]) οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίας [2]) χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν." Ἀλλὰ πρὸς τούτοις τὴν γυναῖκα χρὴ ἔχειν, μάλιστα εὐχομένην, τὸ κατεσταλμένον καὶ τὸ κόσμιον ψυχῇ καὶ σώματι, πάντων μᾶλλον ἐξαιρέτως καὶ ὅτε εὔχεται [3]) αἰδουμένην τὸν θεὸν, καὶ πᾶσαν ἀκόλαστον καὶ γυναικείαν ὑπόμνησιν ἐξορίσασαν ἀπὸ τοῦ ἡγεμονικοῦ, καὶ κεκοσμημένην οὐκ ἐν πλέγμασι, [4]) καὶ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ· ἀλλ' [5]) οἷς πρέπον ἐστὶ κεκοσμῆσθαι γυναῖκα θεοσέβειαν ἐπαγγελλομένην. Θαυμάζω δὲ, εἰ διστάξαι τις ἂν μακαρίαν ἐκ μόνης τῆς τοιαύτης καταστάσεως ἀποφήνασθαι τὴν εἰς τὸ εὔχεσθαι τοιαύτην ἑαυτὴν παραστήσασαν, ὡς ἐδίδαξεν ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ Παῦλος, λέγων· „γυναῖκας [6]) ὡσαύτως ἐν καταστολῇ κοσμίως [7]) μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς· μὴ ἐν πλέγμασι, καὶ [8]) χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ· ἀλλ', ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν." Καὶ ὁ προφήτης δὲ Δαυὶδ πολλὰ μὲν καὶ ἄλλα

---

[1]) Cfr. I Tim. II, 8.

[2]) Sic habet Cod. Mscr. Ed. Oxoniensis: „ὁσίους." R. — Cfr. pag. 117. not. 6.

[3]) Ed. Oxoniensis: „εὔχηται." [4]) Cfr. I Tim. II, 9.

[5]) Ita Cod. Mscr. Male vero ed. Oxoniensis: „ἀλλ' ὡς πρέπον" κτλ. R. — Cfr. I Tim. II, 10.

[6]) Cfr. I Tim. II, 9. 10.

[7]) Ita Cod. Mscr. Ed. autem Oxoniensis: „κοσμίῳ." R.

[8]) Anglus: „Lege hic, et paulo post: „ἢ χρυσῷ."

φησὶν ἔχειν εὐχόμενον τὸν ἅγιον. Καὶ ταῦτα δὲ οὐκ ἀκαίρως παραθετέον, ἵνα φανερὰ ἡμῖν γένηται τὰ μέγιστα ὠφελοῦσα, κἂν μόνη νοηθῇ, ἡ σχέσις καὶ εἰς τὸ εὔχεσθαι παρασκευὴ τοῦ ἀνατεθεικότος ἑαυτὸν τῷ θεῷ. Φησὶν οὖν· „πρὸς [1]) σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ·“ καί· „πρὸς [2]) σὲ ἦρα τὴν ψυχήν μου, ὁ θεός.“ Ἐπαιρόμενοι γὰρ οἱ ὀφθαλμοὶ τοῦ διανοητικοῦ ἀπὸ τοῦ προσδιατρίβειν τοῖς γηΐνοις, καὶ πληροῦσθαι φαντασίας τῆς ἀπὸ τῶν ὑλικωτέρων, καὶ ἐπὶ τοσοῦτον ὑψούμενοι, ὥστε καὶ ὑπερκύπτειν τὰ γεννητὰ, καὶ πρὸς μόνῳ τῷ ἐννοεῖν τὸν θεὸν, κἀκείνῳ σεμνῶς καὶ πρεπόντως τῷ ἀκούοντι ὁμιλεῖν γίνεσθαι, πῶς οὐχὶ τὰ μέγιστα ἤδη ὤνησαν αὐτοὺς [3]) τοὺς ὀφθαλμοὺς ἀνακεκαλυμμένῳ [4]) προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζομένους, καὶ τὴν αὐτὴν εἰκόνα μεταμορφουμένην [5]) ἀπὸ δόξης εἰς δόξαν; Ἀποῤῥοῆς γὰρ νοητοῦ τινος θειοτέρου μεταλαμβάνουσι τότε· ὅπερ δηλοῦται ἐκ τοῦ· „ἐσημειώθη [6]) ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, κύριε.“ Καὶ ἡ ψυχὴ δὲ ἐπαιρομένη, καὶ τῷ πνεύματι ἑπομένη, τοῦ τε σώματος χωριζομένη, καὶ οὐ μόνον ἑπομένη τῷ πνεύματι, ἀλλὰ καὶ ἐν αὐτῷ γινομένη· ὅπερ δηλοῦται ἐκ τοῦ· „πρὸς [7]) σὲ ἦρα τὴν ψυχήν μου·“ πῶς οὐχὶ ἤδη ἀποτιθεμένη τὸ εἶναι ψυχὴ πνευματικὴ γίνεται; Εἰ δὲ μέγιστόν ἐστι κατόρθωμα ἀμνησικακία, ὡς κατὰ τὸν προφήτην Ἱερεμίαν πάντα ἀνακεφαλαιοῦσθαι τὸν νόμον ἐν αὐτῷ, λέγοντα· „οὐ [8])

---

[1]) Psalm. CXXIII, 1. (CXXII.)

[2]) Cfr. Psalm. XXV, 1. (XXIV.)

[3]) Bentlejus delet verba: „τοὺς ὀφθαλμούς,“ et pro: „αὐτούς,“ legit: „ἑαυτούς.“ R.

[4]) Cfr. II Cor. III, 8.

[5]) Bentlejus legit: „μεταμορφουμένους.“ R. — Item fere Anglus.

[6]) Psalm. IV, 6.

[7]) Cfr. Psalm. XXV, 1. (XXIV.)

[8]) Cfr. Jerem. VII, 22. 23. coll. Zach. VII, 10.

ταῦτα ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐκπορευομένων αὐτῶν ἐκ [1]) τῆς Αἰγύπτου· ἀλλὰ τοῦτο ἐνετειλάμην· ἕκαστος [2]) τῷ πλησίον ἐν τῇ καρδίᾳ μὴ μνησικακείτω·" ἀπὸ [3]) μνησικακίας δὲ ἥκοντες ἐπὶ τὸ εὔχεσθαι, τὴν τοῦ σωτῆρος φυλάσσομεν ἐντολὴν, λέγοντος· „ἐὰν [4]) στήκητε προσευχόμενοι, ἀφίετε, εἴ τι ἔχετε κατά τινος·" δηλονότι [5]) τοιοῦτοι ἱστάμενοι πρὸς εὔξασθαι, τὰ κάλλιστα ἤδη κεκτήμεθα.

10. Καὶ ταῦτα μὲν ὡς καθ᾿ ὑπόθεσιν εἴρηται, καὶ εἰ μηδὲν ἕτερον [6]) ἡμῖν ἐπακολουθήσει εὐχομένοις, ὅτι τὰ κάλλιστα κερδαίνομεν, τὸ καθὸ δεῖ εὔχεσθαι νενοηκότες καὶ κατορθοῦντες. Σαφὲς δὲ, ὅτι ὁ οὕτως εὐχόμενος, ἔτι λαλῶν ἀκούσεται, τῇ ἐνεργείᾳ τοῦ ἐπακούοντος ἐνορῶν, [7]) τό· „ἰδοὺ, [8]) πάρειμι·" πᾶσαν τὴν πρὸς τὴν πρόνοιαν δυσαρέστησιν πρὶν εὔξασθαι ἀποβεβληκώς. Τοῦτο γάρ ἐστι δηλούμενον ἐκ τοῦ· „ἐὰν [9]) ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον, καὶ χειροτονίαν, καὶ ῥῆμα γογγυσμοῦ·" τοῦ εὐαρεστουμένου τοῖς γινομένοις, ἐλευθέρου ἀπὸ παντὸς δέσμου γεγενημένου, καὶ μὴ ἀντιχειροτονοῦντος τῷ θεῷ, ἃ βούλεται πρὸς γυμνάσιον ἡμῶν διατασσομένῳ· ἀλλὰ μηδὲ κατὰ τὸ κρυπτὸν τῶν λογισμῶν γογγύζοντος χωρὶς ἀκουστῆς ἀνθρώποις φωνῆς. Ὅντινα γογγυσμὸν, δίκην πονηρῶν οἰκετῶν οὐκ ἐν φανερωτέρῳ αἰτιωμένων τὰς προστάξεις τῶν δεσπο-

---

[1]) Anglus: „Lege: γῆς." — Cfr. Jerem. VII, 22.

[2]) Cfr. Zach. VII, 10.

[3]) Bentlejus corrigit: „ἀπ᾿ ἀμνησικακίας." R. — Item fere Anglus. [4]) Cfr. Matth. XI, 25.

[5]) Bentlejus scribit: „δῆλον, ὅτι." R.

[6]) Deest „ἕτερον" in ed. Ruaei.

[7]) Anglus: „Vitiose hoc a librario scriptum opinor pro: ἐν οὐρανῷ. Nam Origenes hic respicere videtur ad Salomonis verba I Regg. VIII, 30. (III Regg.): σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου, ἐν οὐρανῷ."

[8]) Jes. LVIII, 9. [9]) Jes. LVIII, 9.

τῶν, γογγύζουσιν οἱ μὴ τολμῶντες μὲν φωνῇ καὶ ὅλῃ ψυχῇ κακολογεῖν ἐπὶ τοῖς συμβαίνουσι τὴν πρόνοιαν· οἱονεὶ δὲ βουλόμενοι καὶ τὸν τῶν ὅλων κύριον, ἐφ' οἷς δυσαρεστοῦνται, λαθεῖν. Καὶ οἶμαι τοῦτ' εἶναι καὶ τὸ ἐν τῷ [1]) Ἰώβ· „ἐν [2]) τούτοις πᾶσι τοῖς συμβεβηκόσιν οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ θεοῦ·" ἐπὶ [3]) τοῦ πρὸ αὐτοῦ πειρασμοῦ ἀναγεγραμμένου· „ἐν [4]) τούτοις πᾶσι τοῖς συμβεβηκόσιν οὐδὲν ἥμαρτεν Ἰὼβ ἐνώπιον τοῦ θεοῦ." Ὃ [5]) δὴ προστάσσων μὴ [6]) δεῖν γίνεσθαι, ἐν τῷ Δευτερονομίῳ ὁ λόγος φησί· „πρόσεχε, [7]) μήποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα, λέγων· ἐγγίζει τὸ ἔτος τὸ ἕβδομον," καὶ τὰ ἑξῆς. Ὁ τοίνυν οὕτως εὐχόμενος, τοσαῦτα προωφεληθεὶς [8]) ἐπιτηδειότερος γίνεται ἀνακραθῆναι τῷ πεπληρωκότι τὴν πᾶσαν οἰκουμένην [9]) τοῦ κυρίου πνεύματι· καὶ τῷ πᾶσαν τὴν γῆν καὶ τὸν οὐρανὸν πε-

---

[1]) Deest „τῷ" in ed. Ruaei. [2]) Job. II, 10.

[3]) Anglus: „Legendum esse opinor: ἐπὶ τοῦ πρώτου πειρασμοῦ." [4]) Cfr. Job. I, 22.

[5]) Anglus: „Lege: ὧν δὴ προστάσσων μηδὲν γίνεσθαι, quod flagitat constructio." — Ad quae quidem Angli verba Ruaeus, qui in textu habet: ὁ δὴ προστάσσων μὴ δεῖν γίνεσθαι, haec respondet: „Contra legendum ex Cod. Mscr. ὃ δὴ προστάσσων μὴ δεῖν γίνεσθαι. Neque enim in Cod. Mscr. legitur: μηδέν, ut habet editor Londinensis, sed: μὴ δεῖν." — Cfr. pag. huj. not. 6.

[6]) Sic optime habet Cod. Mscr., perperam autem ed. Oxoniensis: „μηδὲν γίνεσθαι." R. — Cfr. pag. huj. not. 5.

[7]) Deut. XV, 9. — Ed. Oxoniensis: „πρόσεχε μήποτε γένηται ῥῆμα, ἀνόμημα κρυπτὸν ἐν τῇ καρδίᾳ σου λέγων."

[8]) Sic habet Cod. Mscr., ed. vero Oxoniensis: „πρωσωφεληθείς." R.

[9]) Edd. Oxon. et Ruaei in textu: „οἰκονομίαν," ed. vero R. in notis: „Lego cum domino Claudio Fleury: οἰκουμένην. — Cfr. Sap. Sal. I, 7.

πληρωκότι, διὰ τοῦ προφήτου λέγοντος[1]) οὕτως· „οὐχὶ[2]) τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος;“ Ἔτι[3]) δὲ διά τε τῆς προειρημένης καθαρεύσεως, καὶ τῆς εὐχῆς τοῦ μέσον[4]) καὶ τῶν μὴ γινωσκόντων αὐτὸν ἑστηκότος λόγου θεοῦ, οὐδενὸς ἀπολειπομένου τῆς εὐχῆς μεθέξει, συνευχομένου πρὸς τὸν πατέρα τῷ ὑπ᾽ αὐτοῦ μεσιτευομένῳ. Ἀρχιερεὺς γὰρ τῶν προσφορῶν ἡμῶν, καὶ πρὸς τὸν πατέρα παράκλητός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ· εὐχόμενος ὑπὲρ τῶν εὐχομένων, καὶ συμπαρακαλῶν τοῖς παρακαλοῦσιν, οὐκ ἂν ὡς ὑπὲρ οἰκείων εὐξάμενος[5]) τῶν μὴ δι᾽ αὐτοῦ συνεχέστερον εὐχομένων, οὐδ᾽ ἂν ὡς ὑπὲρ ἤδη ἰδίων παράκλητος ἐσόμενος πρὸς τὸν θεὸν, τῶν μὴ πειθομένων ταῖς εἰς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν διδασκαλίαις. „Ἔλεγε[6]) γὰρ, φησὶ, παραβολὴν πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν· κριτής τις ἦν ἔν τινι πόλει,“ καὶ τὰ ἑξῆς. Καὶ ἐν τοῖς πρὸ τούτων· „καὶ[7]) εἶπε πρὸς αὐτούς· τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονύκτιον,[8]) καὶ εἴπῃ αὐτῷ· φίλε, χρῆσόν μοι τρεῖς ἄρτους· ἐπειδὴ φίλος μου παρεγένετο ἐξ ὁδοῦ πρὸς μὲ, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ.“ Καὶ μετ᾽ ὀλίγα· „λέγω[9]) ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς, διὰ τὸ εἶναι φίλον αὐτοῦ,

---

[1]) Lego cum Bentlejo: „λέγοντι.“ R. — Item fere Anglus. [2]) Cfr. Jerem. XXIII, 24.

[3]) Sic Cod. Mscr. Ed. autem Oxoniensis: „Ἔστι δέ.“ R. — Item fere Anglus.

[4]) Cfr. ev. Joann. I, 26.

[5]) Legit Bentlejus: „εὐξόμενος.“ R. — Item fere Anglus: „Lege: εὐξόμενος, sicut mox sequitur: ἐσόμενος.“

[6]) Cfr Luc. XVIII, 1. 2. [7]) Cfr Luc. XI, 5. 6.

[8]) Sic recte Cod. Mscr. Male (?) vero ed. Oxoniensis: „μεσονυκτίου.“ R. — Anglus in textu habuit: „μεσονυκτίου,“ in notis: „Sic edd. Luc. XI, 5. Habet vero Codex: μεσονύκτιον.“

[9]) Cfr. Luc. XI, 8.

διά γε τὴν ἀναίδειαν αὐτοῦ, ἐγερθεὶς δώσει αὐτῷ ὅσων χρήζει.“ Τίς δὲ μὴ προτραπῇ τῶν τῷ ἀψευδεῖ στόματι πιστευόντων Ἰησοῦ, ἀόκνως εὔχεσθαι, λέγοντος· „αἰτεῖτε,[1]) καὶ δοθήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει;“ ἐπεὶ ὁ χρηστὸς πατὴρ τὸν ζῶντα ἄρτον αἰτούντων ἡμῶν αὐτὸν, οὐχ ὃν βούλεται λίθον[2]) τροφὴν γενέσθαι τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ ὁ ἀντικείμενος, δίδωσι τοῖς τὸ πνεῦμα τῆς υἱοθεσίας εἰληφόσιν ἀπὸ τοῦ πατρός· καὶ[3]) „δίδωσιν[4]) ὁ πατὴρ τὸ ἀγαθὸν δόμα ὕων[5]) ἐξ οὐρανοῦ τοῖς αἰτοῦσιν αὐτόν.

11. Οὐ μόνος δὲ ὁ ἀρχιερεὺς τοῖς γνησίως εὐχομένοις συνεύχεται, ἀλλὰ καὶ οἱ ἐν οὐρανῷ χαίροντες ἄγγελοι „ἐπὶ[6]) ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενήκοντα ἐννέα δικαίοις, οἳ οὐ χρείαν ἔχουσι μετανοίας·“ αἵ[7]) τε τῶν προκεκοιμημένων ἁγίων ψυχαί. Ἅτινα

---

[1]) Cfr. Luc. XI, 9. 10.

[2]) Cfr. Matth. IV, 3. coll. Luc. XI, 11.

[3]) Cfr. Luc. XI, 13.

[4]) Sic habet Cod. Mscr. Ed. autem Oxoniensis: „δίδωσιν ὁ πατὴρ ὑμῶν ἐξ οὐρανοῦ τὸ ἀγαθὸν δόμα, τοῖς αἰτοῦσιν αὐτόν.“ Textus Vulgatus apud Lucam habet: „ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν.“ R.

[5]) Anglus: „Ita scripsit librarius fortasse pro: υἱῶν, vel etiam pro: ὑμῶν, quod in praecedd. omiserat. Nam haec, ut opinor, vera est lectio: δίδωσιν ὁ πατὴρ ὑμῶν τὸ ἀγαθὸν δόμα ἐξ οὐρανοῦ τοῖς“ κτλ. — Vera, ut videtur, haec Angli lectio. Cfr. pag. huj. not. 4.

[6]) Cfr. Luc. XV, 7.

[7]) Verba: „αἵ τε τῶν προκεκοιμημένων ἁγίων ψυχαί,“ quae hoc loco exhibet Cod. Mscr., perperam ab editore Oxoniensi rejecta sunt infra post Scripturae locum Tob. XII, 8. ante istas voces: „Ἱερεμίου δὲ ὡς ἐν τοῖς“ κτλ. R. — Anglus: Verba: „αἵ τε — ψυχαί,“ contra Cod. fidem loco movit ed. Oxoniensis, et longe inferius post

δηλοῦται, Ῥαφαὴλ μὲν προσφέροντος[1]) *περὶ Τωβὴτ*[2]) *καὶ Σάῤῥας λογικὴν ἱερουργίαν τῷ θεῷ· — μετὰ γὰρ τὴν εὐχὴν ἀμφοτέρων „εἰσηκούσθη,*[3]) *φησὶν ἡ γραφὴ, προσευχὴ*[4]) *ἀμφοτέρων ἐνώπιον τῆς δόξης τοῦ*[5]) *μεγάλου Ῥαφαὴλ, καὶ ἀπεστάλη ἰάσασθαι τοὺς δύο.“ Καὶ αὐτὸς δὲ Ῥαφαὴλ,*[6]) *φανερῶν ἑαυτοῦ ὡς ἀγγέλου τὴν κατὰ πρόσταγμα τοῦ θεοῦ πρὸς ἀμφοτέρους οἰκονομίαν, φησί· „καὶ*[7]) *νῦν ὅτε*[8]) *προσηύξω σὺ, καὶ ἡ νύμφη σου Σάῤῥα, ἐγὼ προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου.“ Καὶ μετ᾽ ὀλίγα· „ἐγώ*[9]) *εἰμι Ῥαφαὴλ, εἷς τῶν ἑπτὰ ἀγγέλων, οἳ προσαναφέρουσι τὰς*[10]) *προσευχὰς τῶν ἁγίων, καὶ εἰσπο-*

„*δικαιοσύνης*“ collocavit; atque tum postea luxata resarcire volens, post „*προσφέροντος*“ de proprio addidit „*αὐτοῦ,*“ et post „*ψυχαί*“ adjecit „*συνεύχονται·*“ Miro quidem conatu; unde nihil demum factum video, nisi quod utriusque loci, per se satis sani, tum sensum, tum syntaxin perverterit.

[1]) Ed. Oxoniensis: „*προσφέροντος αὐτοῦ περί*“ *κτλ.* — Cfr. pag. 123. not. 7.

[2]) Anglus: „Ita hoc nomen semper in hoc libello scribitur.“

[3]) Anglus: „In Cod. Holm. perperam scribitur: *εἰσήκουσε.*“ — Cfr. Tob. III, 16. 17.

[4]) Ed. Oxoniensis: „*ἡ προσευχή.*“

[5]) Edd. Oxon. et Ruaei in textu, illa: „*τοῦ μεγάλου, καὶ Ῥαφαὴλ ἀπεστάλη,*“ haec: „*τοῦ μεγάλου Ῥαφαὴλ, καὶ ἀπεστάλη.*“ Eadem, ed. scil. Ruaei in notis: „Sic Cod. Mscr. Forte legendum: *τοῦ μεγάλου· καὶ Ῥαφαὴλ ἀπεστάλη*“ — Item fere Anglus. Cfr. Tob. III, 16. 17.

[6]) Ed. Oxoniensis: „*ὁ Ῥαφαήλ.*“

[7]) Tob. XII, 12.

[8]) Edd. Oxon. et R. in textu: „*ὅτι,*“ ed. vero. R. in notis: „lego: *ὅτε.*“ [9]) Cfr. Tob. XII, 15.

[10]) Desiderantur verba: „*τὰς προσευχὰς τῶν ἁγίων,*“ in textu ed. Ruaei. Eadem tamen in notis: „Ex vulgato Tobiae textu graeco addendum est: *τὰς προσευχὰς τῶν ἁγίων*, quod omissum est in Origenis Cod. Mscr.“

ρεύονται ἐνώπιον τῆς δόξης τοῦ ἁγίου.“ Κατὰ τὸν λόγον γοῦν τοῦ Ῥαφαήλ· „ἀγαθὸν [1]) προσευχὴ μετὰ νηστείας καὶ ἐλεημοσύνης καὶ δικαιοσύνης·“ [2]) — Ἱερεμίου δὲ, ὡς ἐν τοῖς Μακκαβαϊκοῖς ἐπιφαινομένου, [3]) πολιᾷ καὶ δόξῃ διαφέροντος, ὡς θαυμαστήν τινα καὶ μεγαλοπρεπεστάτην εἶναι τὴν περὶ αὐτὸν ὑπεροχήν· καὶ προτείνοντος τὴν δεξιὰν, παραδιδόντος τε τῷ Ἰούδᾳ ῥομφαίαν χρυσῆν· ᾧ ἐμαρτύρει ἄλλος ἅγιος προκεκοιμημένος, λέγων· „οὗτός [4]) ἐστιν ὁ προσευχόμενος πολλὰ περὶ τοῦ λαοῦ, καὶ τῆς ἁγίας πόλεως, Ἱερεμίας ὁ τοῦ θεοῦ προφήτης.“ Καὶ γὰρ ἄτοπον, τῆς γνώσεως δι᾽ ἐσόπτρου καὶ ἐν αἰνίγματι [5]) ἐπὶ τοῦ παρόντος τοῖς [6]) ἀξίοις φανερουμένης, τότε δὲ πρόσωπον πρὸς πρόσωπον ἀποκαλυπτομένης, μὴ τὸ ἀνάλογον καὶ ἐπὶ τῶν λοιπῶν ἀρετῶν νοεῖν, [7]) τότε κυρίως τῶν προπαρασκευασαμένων ἐν τῷ βίῳ τούτῳ [8]) τελειουμένων. Μία

---

[1]) Tob. XII, 8.

[2]) Ed. Oxoniensis: „δικαιοσύνης. Αἵ τε τῶν προκεκοιμημένων ἁγίων ψυχαὶ συνεύχονται. Ἱερεμίου δέ“ κτλ. — Cfr. pag. 123. not. 7.

[3]) Cfr. II Macc. XV. 13. coll. 15.

[4]) II Macc. XV, 14.

[5]) Sic habet Cod. Mscr., ed. autem Oxoniensis: „αἰνίγμασι.“ R. — Cfr. I Cor. XIII, 12.

[6]) Dominus Claudius Fleury legebat: „τοῖς ἁγίοις.“ R.

[7]) Ed. Oxoniensis: „νοεῖν τε κυρίως.“ Anglus: „Pro: νοεῖν τε κυρίως, lege: νοεῖν, κυρίως τε.“ — Ad quae quidem Angli verba Ruaeus haec respondet: „Mscr. habet: νοεῖν, τότε κυρίως κτλ., et ita fert ed. nostra.“

[8]) Anglus: „Deesse hic videtur: τότε. Vult enim Origenes, illas virtutes, quae in hac vita inchoantur, consummari demum in futura vita. Lege igitur: τῶν προπαρεσκευασμένων ἐν τῷ βίῳ τούτῳ, τότε τελειουμένων. Nam respicit ad Apostoli verba supra citata: τότε δὲ πρόσ-

δὲ κυριωτάτων ἀρετῶν κατὰ τὸν θεῖον λόγον ἐστὶν ἡ πρὸς τὸν πλησίον ἀγάπη· ἣν πολλῷ μᾶλλον προσεῖναι τοῖς προκεκοιμημένοις ἁγίοις πρὸς τοὺς ἐν βίῳ ἀγωνιζομένους, ἀναγκαῖον νοεῖν, παρὰ τοὺς ἐν τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ τυγχάνοντας, καὶ συναγωνιζομένους τοῖς ὑποδεεστέροις· οὐ μόνον ἐνταῦθα τοῦ· „εἰ[1]) πάσχει μέλος ἕν, συμπάσχει πάντα τὰ μέλη· καὶ εἰ δοξάζεται μέλος ἕν, συγχαίρει πάντα τὰ μέλη·" τοῖς φιλαδέλφοις ἐγγινομένου. Πρέπον γάρ ἐστι καὶ τῇ τῶν ἔξω τῆς παρούσης ζωῆς ἀγάπῃ λέγειν·[2]) „ἡ[3]) μέριμνα πασῶν τῶν ἐκκλησιῶν. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;" καὶ ταῦτα τοῦ Χριστοῦ ὁμολογοῦντος,[4]) καθ' ἕκαστον τῶν ἀσθενούντων ἁγίων ἀσθενεῖν· ὁμοίως καὶ ἐν φυλακῇ εἶναι, καὶ γυμνητεύειν,[5]) ξενιτεύειν τε καὶ πεινᾷν, καὶ διψᾷν. Τίς γὰρ ἀγνοεῖ τῶν ἐντυγχανόντων τῷ εὐαγγελίῳ, τῇ ἐφ' ἑαυτὸν ἀναφορᾷ τῶν συμβαινόντων τοῖς πιστεύουσι λογιζόμενον τὸν Χριστὸν ἴδια εἶναι παθήματα; Εἰ[6])

ωπον πρὸς πρόσωπον. Omissum vero opinor illud τότε propter syllabarum vicinarum τῳ τε similitudinem." — Ad quae quidem Angli verba Ruaeus haec respondet: „Nihil deest, uti liquet e praecedenti nostra (cfr. pag. 125. not. 7.) observatione."

[1]) Cfr. I Cor. XII, 26.

[2]) Post verbum: „λέγειν," ed. Oxoniensis intra uncos habet: „ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν." Sed illud cum absit ab Orig. Cod. Mscr., e textu expunximus. R. — Cfr. II Cor. XI, 28.

[3]) II Cor. XI, 28. [4]) Cfr. Matth. XXV, 35. 36.

[5]) Edd. Oxon. et Ruaei: „γυμνιτεύειν." — Anglus: „lege: γυμνητεύειν."

[6]) Edd. Oxon. et R. in textu: „οἱ δέ," ed. vero R. in notis: „Lego cum Bentlejo: εἰ δέ." R. — Anglus: „Sententia plane postulat, ut legas: εἰ δὲ ἄγγελοι, vel, quod melius est: εἰ δὲ οἱ ἄγγελοι."

δὲ ἄγγελοι [1]) τοῦ θεοῦ προσελθόντες τῷ Ἰησοῦ διηκόνουν αὐτῷ, καὶ μὴ πρέπον ἐστὶν ἡμᾶς πρὸς ὀλίγον νοεῖν γεγονέναι τὴν τῶν ἀγγέλων πρὸς τὸν Ἰησοῦν διακονίαν, τῆς [2]) σωματικῆς αὐτοῦ παρὰ ἀνθρώποις ἐπιδημίας· καὶ αὐτοῦ ἔτι ἐν μέσῳ τῶν πιστευόντων οὐχ ὡς ἀνακειμένου, ἀλλ' ὡς διακονοῦντος· [3]) πόσους [4]) εἰκὸς ἀγγέλους διακονοῦντας τῷ Ἰησοῦ βουλομένῳ συνάγειν [5]) τοὺς υἱοὺς Ἰσραὴλ κατὰ ἕνα ἕνα, καὶ ἀθροίζειν τοὺς ἀπὸ τῆς διασπορᾶς, τούς τε φοβουμένους καὶ ἐπικαλουμένους [6]) σώζοντι· μᾶλλον τῶν ἀποστόλων συνεργεῖν τῇ αὐξήσει καὶ τῷ πληθυσμῷ τῆς ἐκκλησίας, ὡς καὶ προεστῶτάς τινας τῶν ἐκκλησιῶν ἀγγέλους λέγε-

---

[1]) Cfr. Matth. IV, 11.

[2]) Anglus: „Rectius opinor: *τὴν τῆς σωματικῆς*" *κτλ.* — Ad quae quidem Angli verba Ruaeus haec respondet: „Contra male adderetur *τήν*. Nam ordo verborum hic est: *πρὸς ὀλίγον* (supple: *καιρὸν*) *τῆς σωματικῆς αὐτοῦ παρὰ ἀνθρώποις ἐπιδημίας, γεγονέναι τὴν τῶν ἀγγέλων πρὸς τὸν Ἰησοῦν διακονίαν.*"

[3]) Cfr. Luc. XXII, 27.

[4]) Sic recte habet Cod. Mscr., perperam vero ed. Oxoniensis: „*πόσῳ.*" R. — Anglus: „Ed. Oxon. *πόσους* mutavit in *πόσῳ*, unde nulla prorsus fit sententia. Mihi vero pro *πόσους* legendum videtur: *πῶς οὐκ.* Non enim de angelorum numero, sed ministerio tantum quaeritur, hoc modo: *Πῶς οὐκ εἰκὸς ἀγγέλους — μᾶλλον τῶν ἀποστόλων συνεργεῖν; Quidni*, inquit, *par sit, angelos in ecclesia propaganda stabiliendaque plus operae, quam ipsos Apostolos, Christo navare?*" — Ad quae quidem Angli verba Ruaeus recte haecce respondet: „Nulla causa pro *πόσους* legeretur: *πῶς οὐκ.* Etsi enim de ministerio angelorum hic quaeratur, non de numero, nihil obstat, quominus ministrantium angelorum multitudinem obiter denotet."

[5]) Cfr. ev. Joann. XI, 52.

[6]) Anglus: „Adde, vel subaudi saltem: *τὸν θεόν.*"

σθαι[1]) παρὰ τῷ Ἰωάννῃ ἐν τῇ Ἀποκαλύψει; Οὐ γὰρ μάτην οἱ ἄγγελοι[2]) τοῦ θεοῦ ἀναβαίνουσι καὶ καταβαίνουσι ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου· ὁρώμενοι τοῖς τῷ φωτὶ τῆς γνώσεως πεφωτισμένοις ὀφθαλμοῖς. Καὶ παρ' αὐτὸν οὖν τὸν καιρὸν τῆς εὐχῆς ὑπομιμνησκόμενοι ὑπὸ τοῦ εὐχομένου ὧν δεῖται ὁ εὐχόμενος, ἃ δύνανται ὡς καθολικὴν εἰληφότες ἐντολὴν ἐπιτελοῦσι. Χρηστέον δὲ εἰκόνι τινὶ τοιαύτῃ εἰς τὸν λόγον τοῦτον, πρὸς τὸ παραδείξασθαι[3]) τὸ νενοημένον ἡμῖν. Παρέστω τις ἰατρὸς δικαιοσύνης, πεφροντικὼς εὐχομένῳ κάμνοντι περὶ τῆς ὑγείας, ἐπιστήμην ἔχων τοῦ ὃν δεῖ τρόπον θεραπεῦσαι, περὶ οὗ ὁ δεῖνα ἀναφέρει τὴν εὐχὴν νοσήματος. Φανερὸν δὴ, ὅτι κινηθήσεται οὗτος πρὸς τὸ ἰάσασθαι τὸν εὐξάμενον, τάχα οὐ μάτην ὑπολαβὼν, ὅτι τοῦτ' αὐτὸ γέγονεν ἐν νῷ τοῦ θεοῦ ἐπακούσαντος τῆς εὐχῆς τοῦ τὴν ἀπαλλαγὴν τῆς νόσου γενέσθαι αὐτῷ εὐξαμένου. Ἢ τῶν κεκτημένων τις τὰ τῆς τοῦ βίου χρείας ἐπὶ πλεῖον καὶ κοινωνικὸς, ἀκουέτω εὐχῆς πένητος, καὶ περὶ τῶν χρειῶν ἀναφέροντος ἔντευξιν τῷ θεῷ· δῆλον δὴ, ὅτι καὶ οὗτος τὰ τῆς εὐχῆς ἐκπληρώσει τῷ πένητι, ὑπηρέτης γινόμενος τῆς πατρικῆς βουλῆς[4]) τοῦ συναγαγόντος κατὰ τὸν καιρὸν τῆς εὐχῆς τὸν παρασχεῖν δυνάμενον ἐπὶ τὸ αὐτὸ τῷ εὐξομένῳ,[5]) διά τε τὸ δεξιὸν

---

[1]) Cfr. Apocal. I, 20. coll. II, 1. 8. 12. 18. III, 1. 7. 14. [2]) Cfr. ev. Joann. I, 52.

[3]) Ed. Ruaei in textu: „παραδέξασθαι," in notis vero: „Ita quidem scriptum est in Cod. Mscr., sed sensus postulat: παραδείξασθαι, uti scripsit editor Oxoniensis."

[4]) Edd. Oxon. et R. in textu: „βουλῆς, συναγαγόντος," ed. vero R. in notis: „Lege cum Bentlejo vel: βουλῆς συναγαγούσης, vel: βουλῆς τοῦ συναγαγόντος."

[5]) Sic. Cod. Mscr. Ed. vero Oxoniensis: „εὐξαμένῳ, διὰ τὸ δεξιόν." R. — Anglus: „Lege: εὐξαμένῳ."

τῆς προαιρέσεως μὴ δυνάμενον παρορᾷν τὸν δεδεημένον τῶνδέ τινων. Ὥσπερ οὖν ταῦτα οὐ κατὰ συντυχίαν νομιστέον γίνεσθαι, ὅτε γίνεται· τοῦ ἠριθμηκότος[1]) πάσας τὰς τρίχας τῆς τῶν ἁγίων κεφαλῆς, ἁρμονίως[2]) συναγαγόντος παρὰ τὸν καιρὸν τῆς εὐχῆς τὸν ὑπηρέτην ἐσόμενον τῷ δεομένῳ τῆς εὐποιΐας τῆς[3]) ἀπ' αὐτοῦ, εἰσακούοντα, τῷ[4]) πιστῶς δεδεημένῳ· οὕτως ὑποληπτέον συνάγεσθαί ποτε τῶν ἐπισκοπούντων καὶ λειτουργούντων τῷ θεῷ ἀγγέλων παρουσίαν τῷδέ τινι τῶν εὐχομένων, ἵνα συμπνεύσωσιν οἷς ὁ εὐχόμενος ἠξίωσεν. Ἀλλὰ καὶ ὁ ἑκάστου ἄγγελος, καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ μικρῶν, διαπαντὸς[5]) βλέπων τὸ πρόσωπον τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, καὶ ἐνορῶν τοῦ κτίσαντος ἡμᾶς τὴν θειότητα, συνεύχεταί τε ἡμῖν καὶ συμπράττει ἐν οἷς δυνατόν ἐστι περὶ ὧν εὐχόμεθα.

12. *Πρὸς δὲ τούτοις δυνάμεως πεπληρωμένους*[6]) νομίζω τοὺς λόγους τῆς τῶν ἁγίων εὐχῆς, μάλιστα ὅτε προσευχόμενοι, πνεύματι[7]) προσεύχονται καὶ τῷ νοΐ, φωτὶ ἐοικότι[8]) ἀνατέλλοντι ἀπὸ τῆς τοῦ εὐχομένου δια-

---

[1]) Ita recte Cod. Mscr., perperam vero ed. Oxoniensis: „ἠριθμηκότου." R. — Cfr. Matth. X, 30.

[2]) Edd. Oxon. et Ruaei in textu: „ἁρμονίως," ed. vero R. in notis: „lego cum Bentlejo: ἁρμοδίως."

[3]) Sic habet Cod. Mscr., in quo male legit editor Oxoniensis: „τῆς ἐπ' αὐτοῦ εἰσακούοντα, τῷ πιστῷ δεδεημένῳ." R.

[4]) Anglus in textu: „τῷ πιστῷ δεδεημένῳ," in notis: „Lege: τοῦ πιστοῦ δεδεημένου." — Ad quae quidem Angli verba Ruaeus haec respondet: „Ego mallem: τοῦ πιστῶς δεδεημένου. Nam in Cod. Mscr. legitur: πιστῶς, non: πιστῷ."

[5]) Cfr. Matth. XVIII, 10.

[6]) Lego cum Bentlejo: „πεπληρωμένοις." R.

[7]) Cfr. I Cor. XIV, 15.

[8]) Deest „ἐοικότι" in ed. Ruaei.

νοίας, καὶ προϊόντι ἐκ στόματος αὐτοῦ, ὑπεκλύειν δυνάμει θεοῦ τὸν ἐνιέμενον νοητὸν ἰὸν ἀπὸ τῶν ἀντικειμένων δυνάμεων τῷ ἡγεμονικῷ τῶν ἀμελούντων τοῦ εὔχεσθαι, καὶ τό· „ἀδιαλείπτως[1]) *προσεύχεσθε·“ ἀκολούθως ταῖς τοῦ Ἰησοῦ προτροπαῖς εἰρημένον παρὰ τῷ Παύλῳ μὴ φυλαττόντων. Ὡσπερεὶ γὰρ βέλος ἀπὸ τῆς τοῦ εὐχομένου ψυχῆς τῇ γνώσει, καὶ τῷ λόγῳ, ἢ*[2]) *τῇ πίστει πρόεισι ἀπὸ τοῦ ἁγίου, τιτρῶσκον ἐπὶ καθαιρέσει*[3]) *καὶ καταλύσει τὰ ἐχθρὰ τῷ θεῷ πνεύματα, τοῖς τῆς ἁμαρτίας δεσμοῖς περιβαλεῖν ἡμᾶς θέλοντα. Ἀδιαλείπτως δὲ προσεύχεται,*[4]) *καὶ τῶν ἔργων τῆς ἀρετῆς, ἢ τῶν ἐντολῶν τῶν ἐπιτελουμένων εἰς εὐχῆς ἀναλαμβανομένων μέρος, ὁ συνάπτων τοῖς δέουσιν ἔργοις τὴν εὐχὴν, καὶ τῇ εὐχῇ τὰς πρεπούσας πράξεις. Οὕτω γὰρ μόνως τό· „ἀδιαλείπτως*[5]) *προσεύχεσθε·“ ἐκδέξασθαι δυνάμεθα ὡς δυνατὸν ὂν εἰρημένον, εἰ πάντα τὸν βίον τοῦ ἁγίου, μίαν συναπτομένην μεγάλην εἴποιμεν εὐχήν· ἧς εὐχῆς μέρος ἐστὶ καὶ ἡ συνήθως ὀνομαζομένη εὐχὴ, οὐκ*[6]) *ἔλαττον τοῦ τρὶς ἑκάστης ἡμέρας ἐπιτελεῖ-*

---

[1]) I Thess. V, 17.

[2]) Anglus: „Lege: *καί*. Corruptus vero videtur totus hic locus: nempe deest verbum aliquod post *πίστει*, et illud *ἁγίου*, quod post *εὐχομένου* sequi debuit, post *πρόεισι* demum inepte adjicitur. Sic igitur restituendum opinor: *ἀπὸ τῆς τοῦ εὐχομένου ἁγίου ψυχῆς τῇ γνώσει, καὶ τῷ λόγῳ, καὶ τῇ πίστει πεμπόμενον πρόεισι, τιτρῶσκον.*“

[3]) Sic Cod. Mscr., et recte; male autem ed. Oxoniensis: „*καθαρεύσει*,“ R.

[4]) Ita Cod. Mscr. Editio autem Oxoniensis: „*προσεύχεσθαι*.“ R. [5]) I Thess. V, 17.

[6]) Anglus: „Mutilus plane est hic locus, cum nihil sit, ad quod referatur verbum: *ὀφείλουσιν*. Non igitur dubito, quin legendum sit: *εὐχαὶ δὲ οὐκ ἔλαττον τοῦ — ἐπιτελεῖσθαι ὀφείλουσιν*. Nimirum vox *εὐχαί*, a praece-

σθαι ὀφείλουσα·[1]) ὅπερ δῆλόν ἐστιν ἐκ τῶν κατὰ τὸν Δανιὴλ[2]) τηλικούτου ἐπηρτημένου αὐτῷ κινδύνου εὐχόμενον τρὶς τῆς ἡμέρας. Καὶ ὁ Πέτρος δὲ ἀναβαίνων[3]) εἰς τὸ δῶμα[4]) περὶ τὴν ἕκτην ὥραν προσεύξασθαι, ὅτε[5]) καὶ ἑώρα τὸ ἐξ οὐρανοῦ καθιέμενον σκεῦος τέσσαρσιν[6]) ἀρχαῖς καθιέμενον, παρίστησι τὴν μέσην τῶν τριῶν εὐχὴν τὴν[7]) πρὸ αὐτοῦ καὶ

---

dente εὐχή absorpta est." — Cui quidem Ruaeus haec respondet: „Magis nativa est emendatio Bentleji, qui tantum pro ὀφείλουσιν, legit: ὀφείλουσα." — Cfr. pag. huj. not. 1.

[1]) Edd. Oxon. et Ruaei in textu: „ὀφείλουσιν," ed. vero R. in notis: „lego cum Bentlejo: ὀφείλουσα." — Cfr. pag. 130. not. 6.

[2]) Cfr. Dan. VI, 13. [3]) Cfr. Act. X, 9.

[4]) Cod. Mscr. „δῶμα τὴν ἕκτην προσεύξασθαι." Ed. autem Oxoniensis: „δῶμα περὶ τὴν ἕκτην προσεύξασθαι." R. — Anglus: „Pro: τὴν ἕκτην, lege: περὶ τὴν ἕκτην ὥραν, vel: περὶ ὥραν ἕκτην."

[5]) Ed. Ruaei in textu: „ὅτε καὶ ὥρα," in notis vero: „Ita Cod. Mscr. habet. Lege: ὅτε καὶ ἑώρα, vel cum editore Oxoniensi: ὅτε θεωρεῖ." — Anglus: „Pro: ὥρα, lege: ὁρᾷ. Caecutiens scil. librarius omisit ὥραν in linea praecedente, hic autem pro ὁρᾷ posuit: ὥρα." — Cfr. Act. X, 11.

[6]) Ed. R. in textu: „τέτρασιν," in notis: „Ita Cod. Mscr. Editio autem Oxoniensis: „τέσσαρσιν." — Anglus: „Cod. Mscr. τέτρασιν ἀρχαῖς καθιέμενον. Sic etiam habet Actorum Cod. antiquus; sed per scribae plane, tum hic, tum illic, incuriam pro: τέτταρσιν, vel: τέσσαρσιν ἀρχαῖς δεδεμένον, uti in edd. legitur Act. X, 11. Atque ita plane legit ipse Origenes contra Celsum."

[7]) Anglus: „Corruptissimus est hic locus, quem sic restituo: τῆς πρώτης καὶ παρὰ τῷ Δαυὶδ λεγομένης, τὸ πρωῒ εἰσακούσῃ" κτλ. — Cui quidem Ruaeus haec respondet: „Modo pro: παρὰ τοῦ Δαυίδ, legatur: παρὰ

παρὰ[1]) τῷ Δαυὶδ λεγομένην· „τὸ[2]) πρωῒ εἰσακούσῃ τῆς προσευχῆς μου· τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψομαι·“ καὶ τῆς τελευταίας δηλουμένης διὰ τοῦ· „ἔπαρσις[3]) τῶν χειρῶν μου θυσία ἑσπερινή.“ Ἀλλ' οὐδὲ τὸν τῆς νυκτὸς καιρὸν χωρὶς ταύτης τῆς εὐχῆς καθηκόντως διανύσομεν,[4]) τοῦ μὲν Δαυὶδ λέγοντος· „μεσονύκτιον[5]) ἐξεγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου·“ τοῦ δὲ Παύλου, ὡς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων εἴρηται,[6]) κατὰ τὸ μεσονύκτιον ἅμα τῷ Σίλα ἐν Φιλίπποις προσευχομένου, καὶ ὑμνοῦντος τὸν Θεὸν, ὥστε ἐπακροᾶσθαι αὐτῶν καὶ τοὺς δεσμίους.

13. *Εἰ δὲ* Ἰησοῦς προσεύχεται, καὶ μὴ μάτην προσεύχεται, τυγχάνων ὧν αἰτεῖ διὰ τοῦ εὔχεσθαι, τάχα οὐκ ἂν αὐτὰ εἰληφὼς χωρὶς εὐχῆς, τίς ἡμῶν ἀμελῇ[7])

τῷ Δαυίδ, nullo aliunde vitio laborare mihi videtur hic locus. Ter saltem orandum monet Origenes. Prima oratio ex illo fit media nocte. Secundam, quam mediam vocat, circa horam sextam peragebat Petrus: quam et ante illum dicit Origenes apud Davidem commemorari his verbis: *mane exaudies vocem meam; mane adstabo tibi, et videbo.* Tertia et ultima significatur his verbis: *elevatio manuum mearum sacrificium vespertinum.*“ — Cfr. pag. huj. not. 1.

[1]) Edd. Oxon. et R. in textu: „παρὰ τοῦ Δαυίδ,“ ed. vero R. in notis: „Bentlejo scribendum videtur: παρὰ τῷ Δαυίδ.“ — Cfr. pag. 131. not. 7.

[2]) Psalm. V, 3. [3]) Psalm. CXLI, 2. (CXL.)

[4]) Sic habet Cod. Mscr., in quo male legebat editor Oxoniensis: „διανύσσομεν.“ R.

[5]) Psalm. CXIX, 62. (CXVIII.)

[6]) Cfr. Act. XVI, 25.

[7]) Anglus: „In Cod. ἀμελῶν scriptum videtur, non ἀμελῇ, quod habet ed. Oxoniensis. Est autem dictio hic elliptica, quam ex praecedd. sic suppleas: τίς ἡμῶν (λήψεται, vel: τεύξεται, ὧν αἰτεῖ) ἀμελῶν τοῦ εὔχεσθαι; Sed et addito articulo ὁ satis commoda fiet lectio, scilicet: τίς ἡμῶν ὁ ἀμελῶν τοῦ εὔχεσθαι;“ — Cui quidem Ruaeus haec respondet: Walkerus nihil aliud in Cod. vidit quam: ἀμελῇ.“

τοῦ εὔχεσθαι; Μάρκος μὲν γάρ φησιν, ὅτι [1]) πρωῒ ἔννυχον λίαν ἀναστὰς ἐξῆλθε, καὶ ἀπῆλθε εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο·“ ὁ δὲ Λουκᾶς· „καὶ [2]) ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν·“ καὶ ἐν ἄλλοις· „καὶ [3]) ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ.“ Ὁ δὲ Ἰωάννης εὐχὴν αὐτοῦ ἀναγράφει, λέγων· „ταῦτα [4]) ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπε· πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε.“ Καὶ τό· „ᾔδειν [5]) δὲ, ὅτι πάντοτέ μου ἀκούεις·“ παρὰ τῷ αὐτῷ ἀναγεγραμμένον, ὑπὸ τοῦ κυρίου εἰρημένον, δηλοῖ, ὅτι πάντοτε εὐχόμενος πάντοτε ἐπακούεται. Τί δὲ δεῖ καταλέγειν τοὺς διὰ τοῦ ὃν δεῖ τρόπον προσεύξασθαι, μεγίστων ἐπιτετυχότας ἀπὸ θεοῦ; παρὸν [6]) ἑκάστῳ [7]) τῶν ἑαυτῶν ἀπὸ τῶν γραφῶν ἀναλέξασθαι πλείονα. Ἄννα [8]) γὰρ ὑπηρέτησε τῇ γενήσει Σαμουὴλ τῷ Μωϋσῇ συναριθμηθέντος, ἐπεὶ μὴ τίκτουσα, πιστεύσασα προσηύξατο πρὸς κύριον· Ἐζεκίας [9]) δὲ ἔτι ἄπαις τυγχάνων, μαθὼν ἀπὸ τοῦ Ἡσαΐου τεθνήξεσθαι, [10]) προσευξάμενος

---

[1]) Cfr. Marc. I, 35. [2]) Luc. XI, 1.

[3]) Luc. VI, 12. [4]) Cfr. ev. Joann. XVII, 1.

[5]) Cfr. ev. Joann. XI, 42.

[6]) Ita Cod. Mscr. Editio autem Oxoniensis: „πάρεστιν.“ R.

[7]) Edd. Oxon. et Ruaei in textu: „ἑκάστῳ τῶν ἑαυτῶν ἀπο τῶν γραφῶν,“ ed. vero R. in notis: „Integrum locum sic lego cum Bentlejo: ἑκάστῳ τὰ ἑαυτῷ ἀπὸ τῶν γραφῶν.“ — Anglus: „Cod. Mscr. ἑαυτῷ, quod mutavit ed. Oxoniensis in τῶν ἑαυτῶν, unde nulla omnino fit sententia.“

[8]) Cfr. I Sam. I, 9. seqq. coll. Jerem. XV, 1. seqq.

[9]) Cfr. II Regg. XX, 1. 2. seqq. coll. Jes. XXXVIII, 19.

[10]) Ita recte habet Cod. Mscr., perperam vero ed. Oxoniensis: „τεθνήξασθαι.“ R.

εἰς τὴν τοῦ σωτῆρος γενεαλογίαν ἀνείληπται. Ἤδη δὲ ὑφ' ἓν πρόσταγμα ἐξ ἐπιβουλῆς τοῦ Ἀμὰν[1]) ἀπόλλυσθαι μέλλοντος τοῦ λαοῦ, προσευχὴ μετὰ νηστείας Μαρδοχαίου καὶ Ἐσθὴρ ἐπακουσθεῖσα, πρὸς ταῖς κατὰ Μωσέα ἑορταῖς, τὴν[2]) Μαρδοχαϊκὴν ἐγέννησεν εὐφροσύνης τῷ λαῷ ἡμέραν. Ἀλλὰ καὶ Ἰουδὶθ[3]) ἁγίαν ἀνενεγκοῦσα προσευχὴν, τοῦ Ὀλοφέρνου[4]) μετὰ θεοῦ περιγίνεται,[5]) καὶ μία γυνὴ τῶν Ἑβραίων αἰσχύνην ἐποίησε τῷ οἴκῳ τοῦ Ναβουχοδονόσορ· Ἀνανίας[6]) τε καὶ Ἀζαρίας, καὶ Μισαὴλ, πνεῦμα[7]) δρόσου διασυρίζον οὐκ ἐῶν ἐνεργεῖν τὴν φλόγα τοῦ πυρὸς, ἄξιοι γεγόνασιν ἐπακουσθέντες λαβεῖν· οἱ δὲ ἐν τῷ λάκκῳ Βαβυλωνίων λέοντες[8]) φιμοῦνται[9]) διὰ τὰς τοῦ Δανιὴλ προσευχάς· καὶ[10]) Ἰωνᾶς δὲ, οὐκ ἀπογνοὺς τὸ ἐπακουσθήσεσθαι ἐκ κοιλίας τοῦ καταπιόντος αὐτὸν κήτους, τὸ ἐλλιπὲς τῆς πρὸς τοὺς Νινευΐτας προφητείας, ἐξελθὼν τὴν τοῦ κήτους γαστέρα, ἀναπληροῖ. Ὅσα δὲ καὶ ἕκαστος ἡμῶν, ἐὰν εὐχαρίστως μεμνημένος τῶν εἰς αὐτὸν[11]) εὐεργε-

---

[1]) Edd. Oxon. et Ruaei: „Ἀμμάν." — Anglus: „Lege: Ἀμὰν, sicut recte legitur num. 16."

[2]) Cfr. Esther. IX, 27. 28.

[3]) Edd. Oxon. et Ruaei: „Ἰουδήθ." — Anglus: „Ita semper Cod. Holmiensis, atque ipse Origenes in Jerem. Rectius vero Orig. in Joann. Tom. II. num. 16. legit: Ἰουδίθ."

[4]) Cfr. Judith. XIII, 8. 9.

[5]) Cod. Mscr. „περιγίνεται," male ed. Oxoniensis: „περιγίνηται." R.

[6]) Anglus: „Rectius videtur: Ἀνανίας δέ."

[7]) Cfr. Cantic. trium puerorum vers. 26. coll. Dan. (juxta LXX. interpretes) III, 50.

[8]) Cfr. Dan. VI, 22.

[9]) Anglus: „Cod. Mscr. male: φημοῦνται."

[10]) Ed. Oxoniensis: „καὶ Ἰωνᾶς δ' οὐκ ἀπογνούς." — Cfr. Jon. II, 11.

[11]) Ed. Oxoniensis: „ἑαυτόν."

σιῶν περὶ τούτων αἴνους ἀναπέμπειν τῷ θεῷ βούληται, ἔχει ἐκδιηγήσασθαι; Ἄγονοί[1]) τε γὰρ ἐπιπολὺ γεγενημέναι ψυχαὶ, ᾐσθημέναι τῆς στειρώσεως τῶν ἰδίων ἡγεμονικῶν, καὶ τῆς ἀγονίας τοῦ νοῦ ἑαυτῶν,[2]) ἀπὸ τοῦ ἁγίου πνεύματος διὰ ἐπιμόνου εὐχῆς κυήσασαι, σωτηρίους λόγους θεωρημάτων ἀληθείας πεπληρωμένους γεγεννήκασιν. Ὅσοι δὲ ἡμῶν πολλάκις μυριάδων ἀντικειμένης δυνάμεως καταστρατευομένων, καὶ ἐξαφανίσαι ἀπὸ τῆς θείας ἡμᾶς πίστεως βουλομένων, πολέμιοι διελύθησαν; Θαῤῥησάντων ἡμῶν, ὅτι οὗτοι[3]) ἐν ἅρμασίν, οὗτοι δὲ ἐν ἵπποις, ἀλλὰ ἡμεῖς ἐν ὀνόματι κυρίου ἐπικαλούμενοι ὁρῶμεν, ὅτι ἀληθῶς „ψευδὴς[4]) ἵππος εἰς σωτηρίαν.“ Ἀλλὰ καὶ τὸν ἀρχιστρατηγὸν τοῦ ἀντικειμένου, ἀπατηλὸν καὶ πιθανὸν λόγον καταπτήσσειν ποιοῦντα πολλοὺς καὶ τῶν πεπιστευκέναι νομιζομένων, ὁ τῷ πρὸς θεὸν αἴνῳ πεποιθὼς διακόπτει πολλάκις· Ἰουδὶθ[5]) γὰρ ἑρμηνεύεται αἴνεσις. Ὅσοι τε πάσης φλογὸς καυστικωτέροις[6]) περιπεσόντες, δυσπεριγενήτοις[7]) πολλάκις πειρασμοῖς, οὐδὲν ὑπ' αὐτῶν πεπόνθασιν, ἀλλὰ πάντη ἀβλαβεῖς τούτους διεξεληλύθασιν, οὐδὲ τὸ τυχὸν ὀσμῆς τοῦ πολεμίου πυρὸς βλάβην ἐσχηκότες; Τί δεῖ καὶ λέγειν[8]) ἄλλα, καὶ ὅσοις θηρίοις

---

[1]) Anglus: „Ita habet Cod. Mscr., sed male, ut opinor, pro: ἄγονοι τοίγαρ.“

[2]) Cod. Mscr. „ἑαυτῶν,“ ed. Oxoniensis: „αὐτῶν.“ R.

[3]) Cfr. Psalm. XX, 7. (XIX.)

[4]) Psalm. XXXIII, 17. (XXXII.)

[5]) Edd. Oxon. et Ruaei: „Ἰουδήθ.“ — Cfr. pag. 134. not. 3.

[6]) Cod. Mscr. „καυστικωτέροις.“ Ed. Oxoniensis: „καυστικωτέρας.“ R.

[7]) Anglus: „Forte: καὶ δυσπεριγενήτοις.“

[8]) Ed. Ruaei in textu: „λέγειν ἄλλα, καὶ ἐν ὅσοις,“ in notis vero: „Sic habet Cod. Mscr., et recte, modo deleas ἐν. Editio Oxoniensis: λέγειν, ἀλλὰ καὶ ἐν ὅσοις.“

καθ' ἡμῶν ἐξηγριωμένοις, πονηροῖς πνεύμασι καὶ ἀνθρώποις ὠμοῖς παρατυχόντες, ταῖς[1]) εὐχαῖς αὐτοὺς πολλάκις ἐφίμωσαν,[2]) οὐ δεδυνημένων ἐγχρίμψαι[3]) τοὺς ὀδόντας αὐτῶν τοῖς γεγενημένοις ἡμῶν μέλεσι τοῦ Χριστοῦ; Πολλάκις γὰρ καθ' ἕκαστον τῶν ἁγίων τὰς[4]) μύλας τῶν λεόντων συνέθλασε κύριος, καὶ ἐξουδενώθησαν ὡς ὕδωρ παραπορευόμενον. Ἴσμεν δὲ πολλάκις φυγάδας προσταγμάτων θεοῦ, καταποθέντας ὑπὸ[5]) τοῦ θανάτου πρότερον κατ' αὐτῶν ἰσχύσαντος, διὰ τὴν μετάνοιαν σωθέντας ἀπὸ τοῦ τηλικούτου κακοῦ, οὐκ ἀπεγνωκότας[6]) τὸ σώζεσθαι δύνασθαι ἤδη ἐν τῇ κοιλίᾳ τοῦ θανάτου κεκρατημένους· „κατέπιε[7]) γὰρ ὁ θάνατος ἰσχύσας· καὶ πάλιν ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου.“ Ταῦτα δέ μοι ἀναγκαιότατον μετὰ τὸν κατάλογον τῶν ὠφεληθέντων διὰ προσευχῆς εἰρῆσθαι νομίζω· ἀποτρέποντι[8]) τὴν πνευματικὴν καὶ τὴν ἐν Χριστῷ ζωὴν ποθοῦντας ἀπὸ τοῦ περὶ τῶν μικρῶν καὶ ἐπιγείων εὔχεσθαι· καὶ παρακαλοῦντι ἐπὶ τὰ μυστικά, ὧν τύποι ἦσαν τὰ προειρημένα μοι, τοὺς ἐντυ-

---

1) Ita Cod. Mscr. Editio autem Oxoniensis: „ταῖς εὐχαῖς ἂν τοὺς πολλάκις ἐφίμωσαν, οὐ δεδυνημένοις ἐγχρίμψαι.“ R.

2) Anglus: „Mss. ἐφήμωσαν. Lege vero: ἐφίμωσαν, quod liquet ex praecedente, et mox sequente ἡμῶν.“

3) Ed. Ruaei: „ἐγχρίψαι.“ — Cfr. pag. huj. not. 1.

4) Cfr. Psalm. LVIII, 6. 7. (LVII.)

5) Ita Cod. Mscr. Editio autem Oxoniensis: „ἀπὸ τοῦ θανάτου.“ R. — Item fere Anglus: „Ed. Oxoniensis: ἀπό, sed legendum ὑπό.“

6) Male ed. Oxoniensis: „ἀπεγνωκότες.“ R.

7) Cfr. Jesai. XXV, 8.

8) Ita Cod. Mscr. Editio autem Oxoniensis perperam: „ἀποτρέπονται.“ R. — Anglus: „Cod. Mscr. male: ἀποτρέπονται, sicut habet ed. Oxoniensis.“ — Cui quidem Ruaeus de novo affirmando haec respondet: „Walkerus in Cod. Mscr. legit: ἀποτρέποντι.“

χόντας τῇδε τῇ γραφῇ. Πᾶσα γὰρ ἡ περὶ τῶν προπαρατεθέντων ἡμῖν πνευματικῶν καὶ μυστικῶν εὐχὴ, ἀεὶ ὑπὸ τοῦ μὴ κατὰ σάρκα στρατευομένου,[1]) ἀλλὰ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦντος,[2]) ἐπιτελεῖται· προκρινομένων[3]) τῶν ἀπὸ τῆς ἀναγωγῆς μετ' ἐξετάσεως παρισταμένων τῆς ἐμφαινομένης κατὰ τὴν λέξιν γεγονέναι τοῖς προσευξαμένοις εὐεργεσίας. Καὶ ἐν ἡμῖν γὰρ ἀσκητέον μὴ ἐγγενέσθαι ἄγονον ἢ[4]) στεῖραν ἀκούουσι τοῦ πνευματικοῦ νόμου ὠσὶ[5]) πνευματικοῖς· ἵνα ἀποτιθέμενοι τὸ εἶναι ἄγονοι ἢ στεῖραι, ἐπακουσθῶμεν ὡς Ἄννα καὶ Ἐζεκίας· καὶ ἵνα ἀπὸ ἐπιβουλευόντων ἐχθρῶν τῶν πνευματικῶν τῆς πονηρίας ῥυσθῶμεν ὡς Μαρδοχαῖος καὶ Ἐσθὴρ, καὶ Ἰουδίθ. Καὶ ἐπεὶ κάμινός[6]) ἐστι σιδηρᾶ Αἴγυπτος, σύμβολον τυγχάνουσα παντὸς τοῦ περιγείου τόπου, πᾶς ὁ ἐκπεφευγὼς τὴν τοῦ βίου τῶν ἀνθρώπων κακίαν, καὶ μὴ πεπυρωμένος ὑπὸ τῆς ἁμαρτίας, μηδὲ ὡς κλίβανον πλήρη πυρὸς τὴν καρδίαν ἐσχηκὼς, μὴ ἔλαττον εὐχαριστείτω τῶν ἐν πυρὶ δρόσου πεπειραμένων.[7]) Ἀλλὰ καὶ ὁ ἐν τῷ εὔξασθαι καὶ εἰρηκέναι· „μὴ[8]) παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι·" ἐπακουσθεὶς, καὶ μηδὲν ἀπὸ τῆς ἀσπίδος καὶ τοῦ βασιλίσκου παθὼν, τῷ διὰ Χριστὸν αὐτὸν[9]) αὐτῶν ἐπιβεβηκέναι, καὶ κατα-

---

[1]) Cfr. II Cor. X, 3. [2]) Cfr. Rom. VIII, 13.

[3]) Bentlejo scribendum videtur: „Προκρίνομεν οὖν τὸν ἀπὸ τῆς ἀναγωγῆς μετὰ ἐξετάσεως παριστάμενον νοῦν τῆς" κτλ. Sed. Cod. Mscr. lectio ferri potest. R.

[4]) Forte legendum: „ἢ στεῖραν ψυχὴν," uti conjicit Bentlejus. R.

[5]) Mallet Bentlejus: „ὡσεὶ πνευματικοῖς." R.

[6]) Cfr. Deut. IV, 20.

[7]) Cod. Mscr. „πεπειραμένων." Ed. Oxoniensis: „πεπειρασμένων." R.

[8]) Psalm. LXXIV, 19. (LXXIII.)

[9]) Ita Cod. Mscr. Editor vero Oxon. omisit: „αὐτόν." R. — Cfr. Psalm. XCI, 13. (XC.)

πατήσας λέοντα καὶ δράκοντα, τῇ τε καλῇ ἐξουσίᾳ ὑπὸ Ἰησοῦ διδομένῃ[1]) χρησάμενος „τοῦ[2]) πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ,“ καὶ μηδὲν ὑπὸ τῶν τοσούτων ἀδικηθεὶς, πλεῖον τοῦ Δανιὴλ εὐχαριστησάτω, ἅτε ἀπὸ φοβερωτέρων καὶ ἐπιβλαβεστέρων ῥυσθεὶς θηρίων. Πρὸς τούτοις, ὁ πεπεισμένος ποίου κήτους τύπος τὸ καταπεπωκὸς τὸν Ἰωνᾶν[3]) ἐτύγχανε, καὶ[4]) καταλαβών τε ὅτι ἐκείνου τοῦ ὑπὸ τοῦ Ἰὼβ εἰρημένου· „καταράσαιτο[5]) αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην, ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι·“ ἐάν ποτε γένηται διά τινα ἀπειθίαν ἐν τῇ τοῦ κήτους κοιλίᾳ, μετανοῶν εὐξάσθω, κἀκεῖθεν ἐξελεύσεται·[6]) ἐξελθών τε ἐπιμένων τῷ πείθεσθαι τοῖς προστάγμασι τοῦ θεοῦ, δυνήσεται κατὰ τὴν χρηστότητα τοῦ πνεύματος προφητεύσας καὶ νῦν Νινευΐταις ἀπολλυμένοις, πρόφασις αὐτοῖς γενέσθαι σωτηρίας· μὴ δυσαρεστούμενος τῇ χρηστότητι τοῦ θεοῦ, μηδὲ ζητῶν ἐπιμένειν αὐτὸν πρὸς[7]) τοὺς μετανοοῦντας τῇ ἀποτομίᾳ. Ὅπερ δὲ μέγιστον πεποιηκέναι λέγεται Σαμουὴλ διὰ προσευχῆς, τοῦτο πνευματικῶς δυνατόν ἐστιν ἕκαστον τῶν ἀνακειμένων γνησίως τῷ θεῷ, καὶ νῦν ἐπιτελεῖν, ἄξιον τοῦ ἐπακούεσθαι γεγενημένον. Γέγραπται γάρ· „καί[8]) γε νῦν στῆτε, καὶ[9]) ἴδετε τὸ ῥῆμα τὸ μέγα

---

[1]) Ed. Oxoniensis: „δεδομένῃ.“

[2]) Luc. X, 19.

[3]) Sic Cod. Mscr. Editio autem Oxoniensis: „Ἰωνᾶ ἐντύγχανε.“ R.

[4]) Anglus: „Deleas hic oportet vel: καί, vel: τε.“

[5]) Job. III, 8.

[6]) Cod. Mscr. „ἐξελεύσεται,“ ed. Oxoniensis: „ἐξελεύσηται.“ R. — Anglus: „Cod. Mscr. ἐξελεύσηται.“

[7]) Anglus: „Ordo certe melior: τῇ πρὸς τοὺς μετανοοῦντας ἀποτομίᾳ.“

[8]) Cfr. I Sam. XII, 16. 17. (I Regg.)

[9]) Anglus: „Omisit librarius verba: καὶ ἴδετε, quae

τοῦτο, ὃ ὁ κύριος ποιεῖ [1]) κατ' ὀφθαλμοὺς ὑμῶν. Οὐχὶ θερισμὸς πυροῦ σήμερον; Ἐπικαλέσομαι κύριον, [2]) καὶ δώσει φωνὰς καὶ ὑετόν." Εἶτα μετ' ὀλίγα· „καὶ [3]) ἐπεκαλέσατο, φησὶ, Σαμουὴλ κύριον, [4]) καὶ ἔδωκε κύριος φωνὰς καὶ ὑετὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ." Παντὶ γὰρ ἁγίῳ, καὶ τῷ Ἰησοῦ γνησίως μαθητεύοντι ὑπὸ τοῦ κυρίου λέγεται· „ἐπάρατε [5]) τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. Ὁ [6]) θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον." Ἐν τῷ καιρῷ δὴ [7]) τούτῳ τοῦ θερισμοῦ, μέγα ῥῆμα ὁ κύριος ποιεῖ κατ' ὀφθαλμοὺς τῶν ἀκουόντων τοὺς προφήτας· ἐπικαλεσαμένου γὰρ τοῦ κεκοσμημένου [8]) τῷ ἁγίῳ πνεύματι πρὸς [9]) τὸν κύριον, δίδωσιν ὁ θεὸς οὐρανόθεν φωνὰς καὶ τὸν ποτίζοντα τὴν ψυχὴν ὑετόν· ἵνα ὁ πρότερον ἐν τῇ κακίᾳ ὤν, φοβηθῇ σφόδρα τὸν κύριον, καὶ τὸν ὑπηρέτην τῆς εὐεργεσίας τοῦ θεοῦ, αἰδέσιμον καὶ σεβάσμιον δι' ὧν ἐπακούεται πεφανερωμένον. Καὶ Ἠλίας δὴ [10]) τρισὶν ἔτεσι

---

nos, flagitante sententia, inserenda esse judicavimus ex I Sam. XII, 16., ubi sic legitur: *καὶ νῦν κατάστητε, καὶ ἴδετε.*"

[1]) Anglus: „Lege: *ποιήσει.*"

[2]) Cod. Mscr. „*κύριον,*" ed. Oxoniensis: „*τὸν κύριον.*" R. — Anglus: „LXX. interpretes: *τὸν κύριον.*"

[3]) Cfr. I Sam. XII, 18. (I Regg.)

[4]) Cod. Mscr. „*κύριον.*" Ed. Oxoniensis: „*πρὸς κύριον.*" R. — Anglus: „Lege, sicut ante: *τὸν κύριον,* sine *πρός.* Nam ita semper habent LXX. interpretes, uno tantum loco excepto, Hos. VII, 7., ubi nescio quomodo legitur: *ἐπικαλούμενος πρὸς μέ.*"

[5]) Cfr. ev. Joann. IV, 35. 36.

[6]) Cod. Mscr. „*ὁ θερίζων.*" Ed. Oxon. „*καὶ ὁ θερίζων.*" R.

[7]) Anglus: „Lege: *δὲ τούτου,* scil. *πνευματικοῦ.*"

[8]) Bentlejus legit: „*κεκολλημένου,*" ut I Cor. VI, 17. R. [9]) Anglus: „Lege: *τὸν κύριον,* sine *πρός.*"

[10]) Ed. Ruaei: „*δέ.*" — Cfr. Jacob. V, 17. 18.

καὶ ἐξ μησὶ κεκλεισμένον τοῖς ἀσεβέσι τὸν οὐρανὸν θείῳ λόγῳ ἀνοίγει ὕστερον· ὅπερ παντί[1]) τῳ κατορθοῦται ἀεὶ, διὰ τῆς εὐχῆς λαμβάνοντι τὸν ὑετὸν τῆς ψυχῆς, τῶν[2]) διὰ τὴν ἁμαρτίαν πρότερον αὐτοῦ ἐστερημένων.

14. Τούτων δὲ ἡμῖν ἑρμηνευθέντων εἰς τὰς διὰ τῶν προσευχῶν γεγενημένας τοῖς ἁγίοις εὐεργεσίας, κατανοήσωμεν[3]) τό· „αἰτεῖτε[4]) τὰ μεγάλα, καὶ τὰ μικρὰ ὑμῖν προστεθήσεται· καὶ αἰτεῖτε τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια ὑμῖν προστεθήσεται." Πάντα[5]) τε τὰ συμβολικὰ καὶ τυπικὰ, συγκρίσει τῶν ἀληθινῶν καὶ νοητῶν μικρά ἐστι καὶ ἐπίγεια· καὶ[6]) εἰκὸς, ὅτι ὁ θεῖος ἡμᾶς λόγος προκαλούμενος ἐπὶ τὸ μιμεῖσθαι τὰς τῶν ἁγίων εὐχὰς, ἵν' αἰτῶμεν αὐτὰς[7]) κατὰ τὸ ἀληθὲς ὧν ἐκεῖνοι ἐπετέλουν τυπικῶν, φησὶ τὰ ἐπουράνια καὶ μεγάλα, δεδηλωμένα διὰ τῶν περὶ[8]) ἐπιγείων καὶ μικρῶν πραγμάτων, λέγων· ὑμεῖς οἱ πνευματικοὶ εἶναι βουλόμενοι,[9])

---

[1]) Cod. Mscr. recte: „παντί τῳ," ed. autem Oxoniensis: „τῷ παντί." R. — Anglus: „Male haec inversa exhibuit ed. Oxoniensis: τῷ παντί. Sed legendum opinor hic, sicut paulo ante: παντὶ ἁγίῳ κατορθοῦται."

[2]) Mallet Bentlejus: „τὸν διὰ τὴν ἁμαρτίαν πρότερον αὐτοῦ ἐστερημένον." R.

[3]) Malim cum Bentlejo: „κατανοήσομεν." R.

[4]) Cfr. Matth. VI, 33.

[5]) Anglus: „Lege: πάντα γε, vel: πάντα δέ."

[6]) Legit Bentlejus: „καὶ εἰκός· ὅτε." R.

[7]) Lego cum Bentlejo: „αὐτοὶ κατὰ τὸ ἀληθὲς, ὧν ἐκεῖνοι ἐπέτυχον τυπικῶς." R. — Anglus: „ἵν' αἰτῶμεν αὐτὰς, scil. εὐχάς. Atqui minus recte dicimur αἰτεῖν εὐχάς. Pro αἰτῶμεν igitur legendum opinor: ἐπιτελῶμεν, sicut mox sequitur: ὡς ἐκεῖνοι ἐπετέλουν. Ita vero num. 12. εὐχαὶ τοῖς — ἐπιτελεῖσθαι ὀφείλουσι. Et num. 13. ἡ περὶ τῶν μυστικῶν εὐχὴ ἐπιτελεῖται." — Equidem a partibus Bentleji steterim.

[8]) Anglus: „Hoc misso, rectius legas: διὰ τῶν ἐπιγείων."

[9]) Lego cum Bentlejo: „βουλόμενοι, πνευματικὰ διὰ τῶν προσευχῶν." R.

διὰ τῶν προσευχῶν αἰτήσατε,[1]) ἵν' αὐτῶν τυχόντες, ὡς[2]) ἐπουρανίων, βασιλείαν οὐρανῶν κληρονομήσητε, καὶ ὡς μεγάλων τῶν μεγίστων ἀγαθῶν ἀπολαύσητε· τὰ δὲ ἐπίγεια καὶ μικρὰ, ὧν διὰ τὰς σωματικὰς ἀνάγκας χρήζετε, μέτρῳ τοῦ δέοντος ἐπιχορηγήσῃ[3]) ὑμῖν ὁ πατήρ. Ἐπεὶ δὲ παρὰ τῷ ἀποστόλῳ τέσσαρα ὀνόματα κατὰ τεσσάρων πραγμάτων, γειτνιώντων τῷ περὶ τῆς εὐχῆς λόγῳ, ἐν τῇ προτέρᾳ πρὸς Τιμόθεον εἴρηται, χρήσιμον ἔσται παραθέμενον αὐτοῦ τὴν λέξιν ἰδεῖν,[4]) ἕκαστον τῶν τεσσάρων κυρίως ἂν νοούμενον ἐκλάβοιμεν καλῶς. Λέγει δὲ οὕτως· „παρακαλῶ[5]) οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων,“ καὶ τὰ ἑξῆς. Ἡγοῦμαι τοίνυν, δέησιν μὲν εἶναι τὴν[6]) ἐλλείποντός[7]) τινι μεθ' ἱκεσίας περὶ τοῦ ἐκείνου τυχεῖν ἀναπεμπομένην εὐχήν·

---

[1]) Anglus: „Dormitans hic librarius nonnulla omisit, uti liquet ex sequentibus. Quocirca sic restituendum esse opinor hunc locum: αἰτήσατε τὰ μεγάλα καὶ ἐπουράνια, ἵν' αὐτῶν τυχόντες, ὡς ἐπουρανίων, βασιλείαν οὐρανῶν κληρονομήσητε, καὶ, ὡς μεγάλων, τῶν μεγίστων ἀγαθῶν ἀπολαύσητε. Vix enim aliter loco aptam efficies sententiam.“ — Quam quidem emendationem totus fere approbaverim.

[2]) Edd. Oxon. et Ruaei in textu: „ὡς ἐπουράνιοι,“ ed. vero R. in notis: „Bentlejus legit: ὡς ἐπουρανίων. Dominus Claudius Fleury nihil hoc loco mutat, sed infra pro: ὡς μεγάλων, legebat: ὡς μεγάλοι.“ — Cfr. pag. huj. not. 1.

[3]) Legit Bentlejus: „ἐπιχορηγήσει.“ R. — Anglus: „Lege: ἐπιχορηγήσει.“

[4]) Legit Bentlejus: „ἰδεῖν, εἰ ἕκαστον τῶν τεσσάρων κυρίως ἐννοούμενον ἐκλάβοιμεν καλῶς.“ R.

[5]) Cfr. I Tim. II, 1.

[6]) Anglus: „Lege: τὴν περὶ ἐλλείποντος.“ Sic in sequentibus: προσευχὴν, τὴν — περὶ μειζόνων — ὑπό του· ἔντευξιν δὲ, τὴν — περί τινων ἀξίωσιν.“

[7]) Legit Bentlejus: „ἐλλείποντός τινος.“ R. — Equidem a partibus Angli, cfr. pag. huj. not. 6., steterim.

τὴν δὲ προσευχὴν, τὴν μετὰ δοξολογίας περὶ μειζόνων μεγαλοφυέστερον ἀναπεμπομένην ὑπό [1]) του· ἔντευξιν δὲ, τὴν ὑπὸ παῤῥησίαν τινὰ πλείονα ἔχοντος περί τινων ἀξίωσιν πρὸς θεόν· εὐχαριστίαν δὲ, τὴν ἐπὶ τῷ τετυχέναι ἀγαθῶν ἀπὸ θεοῦ μετὰ εὐχῶν ἀνθομολόγησιν, ἀντειλημμένου τοῦ ἀνθομολογουμένου τοῦ μεγέθους, ἢ τῷ εὐεργετηθέντι [2]) μεγέθους φαινομένου, τῆς εἰς αὐτὸν γεγενημένης [3]) εὐεργεσίας. Παραδείγματα δὲ, τοῦ μὲν πρώτου, ὁ [4]) Γαβριὴλ πρὸς τὸν Ζαχαρίαν, περὶ τῆς γενήσεως Ἰωάννου ὡς εἰκὸς εὐξάμενον, λόγος οὕτως ἔχων· „μὴ [5]) φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην·“ καὶ τὰ ἐν τῇ Ἐξόδῳ ἐπὶ τῇ μοσχοποιΐᾳ ἀναγεγραμμένα τὸν τρόπον τοῦτον· „καὶ [6]) ἐδεήθη Μωϋσῆς κατέναντι κυρίου τοῦ θεοῦ, καὶ εἶπεν· ἱνατί [7]) θυμῇ ὀργῇ, κύριε, εἰς τὸν λαόν σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν

---

1) Ita recte habet Cod. Mscr., nec necesse est cum editore Oxoniensi, (qui legit: ὑπὸ τοῦ), addere: „ἐπικινδυνευομένου.“ R. — Anglus: „Cod. Mscr. ὑπό του. In ed. vero Oxon. legitur: ὑπὸ τοῦ, addito: ἐπικινδυνευομένου. Sed nec προσευχῆς definitio id postulare videtur, nec causam video, cur προσευχὴ sit τοῦ κινδυνευομένου magis, quam vel δέησις, vel ἔντευξις: ab exemplis certe, quae sequuntur, non apparet. Ὑπό του vero idem sonat, quod ὑπό τινος. Sed fortasse librarii hic incuria mutatus verborum ordo sic est restituendus: ἀναπεμπομένην· ἔντευξιν δὲ, τὴν ὑπὸ τοῦ παῤῥησίαν τινὰ πλείονα ἔχοντος“ κτλ.

2) Male ed. Oxoniensis: „εὐεργεθέντι.“ R.

3) Ed. Oxoniensis: „γεγεννημένης.“

4) Anglus: „Deesse opinor: τοῦ, nam ita certe rectius legatur: ὁ τοῦ Γαβριὴλ — λόγος οὕτως ἔχων.“

5) Luc. I, 13. — Edd. Oxon. et Ruaei: „Ἐλισαβὲτ γεννήσει.“ 6) Cfr. Exod. XXXII, 11.

7) Sic habet Cod. Mscr., in quo male (?) legebat editor Oxoniensis: „ἵνα τί θυμοῖ.“ R. — Anglus: „Lege: θυμοῦ.“

ἰσχύϊ μεγάλῃ.“ Καὶ ἐν Δευτερονομίῳ· „καὶ [1]) ἐδεήθην ἔναντι κυρίου δεύτερον, καθάπερ καὶ τὸ πρότερον, τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἄρτον οὐκ ἔφαγον, καὶ ὕδωρ οὐκ ἔπιον, περὶ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν ὧν ἡμάρτετε.“ Καὶ ἐν τῇ Ἐσθήρ· „Μαρδοχαῖος [2]) ἐδεήθη τοῦ θεοῦ, μνημονεύων πάντα τὰ ἔργα τοῦ κυρίου, καὶ εἶπε· κύριε, κύριε, βασιλεῦ παντοκράτορ·“ καὶ αὐτὴ ἡ Ἐσθὴρ „ἐδεῖτο [3]) κυρίου τοῦ θεοῦ Ἰσραὴλ, καὶ εἶπε· κύριε, ὁ βασιλεὺς ἡμῶν.“ Τοῦ δὲ δευτέρου, ἐν τῷ Δανιήλ· „καὶ [4]) συστὰς Ἀζαρίας προσηύξατο οὕτως· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ πυρὸς, εἶπε.“ Καὶ ἐν τῷ Τωβήτ· „καὶ [5]) προσηυξάμην μετ' ὀδύνης, λέγων· δίκαιος εἶ, κύριε, καὶ πάντα τὰ ἔργα σου, πᾶσαι [6]) αἱ ὁδοί σου ἐλεημοσύνη καὶ ἀλήθεια, καὶ κρίσιν ἀληθινὴν καὶ δικαίαν σὺ [7]) κρίνεις εἰς τὸν αἰῶνα.“ Ἐπεὶ δὲ τὸ μὲν ἐν τῷ Δανιὴλ ῥητὸν ὠβέλισαν, ὡς μὴ κείμενον ἐν τῷ Ἑβραϊκῷ, τῇ δὲ τοῦ Τωβὴτ βίβλῳ ἀντιλέγουσιν οἱ ἐκ περιτομῆς, ὡς μὴ ἐνδιαθήκῳ, παραθήσομαι ἐκ τῆς πρώτης τῶν Βασιλειῶν τὸ τῆς Ἄννης· „καὶ [8]) προσηύξατο πρὸς κύριον, καὶ κλαυθμῷ ἔκλαυσε. Καὶ ηὔξατο εὐχὴν, καὶ εἶπε· κύριε τῶν δυνάμεων, ἐὰν ἐφοράσει ἐπίδῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου,“ καὶ τὰ ἑξῆς. Καὶ ἐν τῷ Ἀββακούμ· [9]) „προσευχὴ [10]) Ἀββακοὺμ τοῦ προφήτου, μετὰ

---

[1]) Cfr. Deut. IX, 18. [2]) Cfr. Esther. IV, 17.

[3]) Cfr. Esther. IV, 17.

[4]) Cfr. Cantic. trium puerorum vers. 1. (Cfr. Dan. secundum LXX. interpretes III, 25.)

[5]) Cfr. Tob. III, 1. 2.

[6]) Anglus: „Deest καί, nam rectius LXX. interpretes: πάντα τὰ ἔργα σοῦ, καὶ πᾶσαι αἱ ὁδοί σου.“

[7]) Sic Cod. Mscr. Editio autem Oxoniensis: „συγκρίνεις.“ R. [8]) Cfr. I Sam. I, 10. 11.

[9]) Edd. Oxon. et Ruaei: „Ἀββακούμ.“

[10]) Cfr. Habac. III, 1. 2.

ᾠδῆς. Κύριε, εἰσακήκοα τὴν φωνήν σου, καὶ ἐφοβήθην. Κύριε, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην· ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ.“ Σφόδρα δὲ αὕτη ἐμφαίνει τὸ κατὰ τὸν ὅρον τῆς προσευχῆς, ὅτι μετὰ δοξολογίας τῷ προσευχομένῳ ἀναπέμπεται. Ἀλλὰ καὶ ἐν τῷ Ἰωνᾷ· „προσηύξατο [1]) Ἰωνᾶς πρὸς κύριον τὸν θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους, καὶ εἶπεν· ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου. Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με.“ Τοῦ δὲ τρίτου, παρὰ τῷ ἀποστόλῳ εὐλόγως τὴν μὲν προσευχὴν ἐφ᾽ ἡμῶν τάττοντι, τὴν δὲ ἔντευξιν ἐπὶ τοῦ πνεύματος, ὡς κρείττονος ὄντος, καὶ παῤῥησίαν ἔχοντος πρὸς [2]) τὸν, ᾧ ἐντυγχάνει· „τὸ [3]) γὰρ τί προσευξώμεθα, [4]) φησὶ, καθὸ δεῖ οὐκ οἴδαμεν, ἀλλὰ αὐτὸ πνεῦμα στεναγμοῖς ἀλαλήτοις ὑπερεντυγχάνει τῷ θεῷ. Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.“ Ὑπερεντυγχάνει γὰρ καὶ ἐντυγχάνει τὸ πνεῦμα, ἡμεῖς

---

[1]) Cfr. Jon. II, 2—4. — Edd. Oxon. et Ruaei hoc loco: „Ἰωνάς.“

[2]) Ed. Ruaei in textu: „πρὸς τὸν ὧν ἐντυγχάνει,“ in notis vero: „Sic habet Cod. Mscr., legendum autem cum Bentlejo: πρὸς τὸν ᾧ ἐντυγχάνει. Male ed. Oxon. habet: πρῶτον ὧν ἐντυγχάνει.“ — Anglus: „Cod. Mscr. male: πρὸς τὸν ὧν ἐντυγχάνει. Haec vero in deterius mutavit ed. Oxon., scil. in πρῶτον ὧν ἐντυγχάνει. At vera, ut opinor, lectio est: πρὸς τὸν ᾧ ἐντυγχάνει, vel, quod malim: πρὸς θεὸν ᾧ ἐντυγχάνει. Nam respicere videtur Origenes ad Apostoli verba I Joann. III, 21. παῤῥησίαν ἔχομεν πρὸς τὸν θεόν.“

[3]) Cfr. Rom. VIII, 26. 27. — Ed. Oxoniensis: „ὃ γὰρ τί.“

[4]) Edd. Oxon. et Ruaei: „προσευξόμεθα.“ — Anglus: „Lege: προσευξώμεθα, sicut in edd. exstat Rom. VIII, 26.“

δὲ προσευχόμεθα. „Ἔντευξις δέ μοι εἶναι δοκεῖ καὶ τὸ ὑπὸ Ἰησοῦ εἰρημένον, περὶ τοῦ στῆναι τὸν ἥλιον κατὰ Γαβαώθ·[1]) „τότε[2]) ἐλάλησεν Ἰησοῦς πρὸς κύριον, ᾗ ἡμέρᾳ παρέδωκεν ὁ θεὸς τὸν Ἀμοῤῥαῖον[3]) ὑποχείριον Ἰσραὴλ, ἡνίκα συνέτριβεν αὐτοὺς ἐν Γαβαὼθ, καὶ συνετρίβησαν ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. Καὶ εἶπεν ὁ Ἰησοῦς· στήτω ὁ ἥλιος κατὰ Γαβαὼθ, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλώμ.“[4]) Καὶ ἐν τοῖς Κριταῖς ὁ Σαμψὼν ἡγοῦμαι ὅτι ἐντυγχάνων εἶπε· „συναποθανέτω[5]) ἡ ψυχή μου μετὰ τῶν ἀλλοφύλων, ὅτε[6]) ἔκλινεν ἐν ἰσχύϊ, καὶ ἔπεσεν ὁ οἶκος ἐπὶ τοὺς σατράπας, καὶ ἐπὶ πάντα τὸν λαὸν τὸν ἐν αὐτῷ.“ Εἰ καὶ μὴ κεῖται δὲ, ὅτι ἐντετυχήκασιν, ἀλλ' ὅτι εἰρήκασιν ὁ Ἰησοῦς καὶ ὁ Σαμψὼν, ὁ λόγος αὐτῶν ἔοικεν εἶναι ἔντευξις· ἥτις ἑτέρα παρὰ τὴν προσευχὴν, εἰ κυρίως ἀκούοιμεν τῶν ὀνομάτων, εἶναι ἡμῖν νομίζεται. Εὐχαριστίας δὲ παράδειγμα ἡ τοῦ κυρίου ἡμῶν φωνὴ, λέγοντος· „ἐξομολογοῦμαί[7]) σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις.“ Τὸ γὰρ „ἐξομολογοῦμαι“ ἴσον ἐστὶ τῷ· „εὐχαριστῶ.“ Δέησιν μὲν οὖν καὶ ἔντευξιν καὶ εὐχα-

---

[1]) Sic ubique Cod. Mscr., contra cujus fidem ed. Oxon. in textu habet: „Γαβαών.“ R. — Anglus: „In Cod. quidem hic, et bis postea, scribitur: Γαβαώθ. Atqui edd. omnes LXX. virorum versionis habent: Γαβαών, et sic legit ipse Orig. in Matth. Tom. XVII. num. 2. et Hom. I. in Jos. et περὶ ἀρχῶν IV, 2.“

[2]) Cfr. Jos. X, 12.

[3]) Edd. Oxon. et Ruaei: „Ἀμοραῖον.“

[4]) Sic Cod. Mscr. Editio autem Oxoniensis: „Αἰλώμ.“ R. — Anglus: „Ita, scil. Ἐλώμ, Orig. in Matth. Tom. XVII. num. 2. et Hom. I. in Josuam. Sed ed. Complut. LXX. viror. vers. habet: Ἐλώμ, ceterae vero: Αἰλώμ.“ [5]) Cfr. Judic. XVI, 30.

[6]) Ita Cod. Mscr. Editio vero Oxoniensis: „ὅτι.“ R.

[7]) Cfr. Luc. X, 21.

ριστίαν, οὐκ ἄτοπον καὶ [1]) ἁγίοις προσενεγκεῖν· ἀλλὰ τὰ μὲν δύο, λέγω δὲ [2]) ἔντευξιν καὶ εὐχαριστίαν, οὐ μόνον ἁγίοις, ἀλλὰ δὴ καὶ ἀνθρώποις· [3]) τὴν δὲ δέησιν μόνον ἁγίοις, εἴ τις εὑρεθείη Παῦλος ἢ Πέτρος, ἵνα ὠφελήσωσιν ἡμᾶς, [4]) ἀξίους ποιοῦντες τοῦ τυχεῖν τῆς δεδομένης αὐτοῖς ἐξουσίας πρὸς τὸ ἁμαρτήματα ἀφιέναι· εἰ μὴ ἄρα, κἂν μὴ ἅγιός τις ᾖ, ἀδικήσωμεν δὲ αὐτὸν, δέδοται συναισθηθέντας τῆς εἰς αὐτὸν ἁμαρτίας τὸ δεηθῆναι καὶ τοῦ τοιούτου, ἵν' ἡμῖν ἠδικηκόσι συγγνώμην ἀπονείμῃ. Εἰ δὲ ἀνθρώποις ἁγίοις ταῦτα προσενεκτέον, πόσῳ πλέον τῷ Χριστῷ εὐχαριστητέον, τοσαῦτα ἡμᾶς βουλήσει τοῦ πατρὸς εὐεργετήσαντι; Ἀλλὰ καὶ ἐντευκτέον αὐτῷ, ὡς ὁ εἰπὼν Στέφανος· „κύριε, [5]) μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην·“ μιμούμενοί τε τὸν πατέρα τοῦ σεληνιαζομένου ἐροῦμεν· „δέομαι, [6]) κύριε, ἐλέησον ἢ τὸν υἱὸν,“ ἢ ἐμὲ αὐτὸν, ἢ ὃν δήποτε.

15. Ἐὰν δὲ ἀκούωμεν ὅ, τί ποτέ ἐστι προσευχὴ, μήποτε οὐδενὶ τῶν γεννητῶν προσευκτέον ἐστὶν, οὐδὲ αὐτῷ τῷ Χριστῷ, ἀλλὰ μόνῳ τῷ θεῷ τῶν ὅλων καὶ πατρὶ, ᾧ καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν προσηύχετο, ὡς προπαρεθέμεθα, καὶ διδάσκει ἡμᾶς προσεύχεσθαι.

---

[1]) Edd. Oxon. et Ruaei in textu: „καὶ ἀνθρώποις,“ ed. vero R. in notis: „Lego cum Bentlejo: καὶ ἁγίοις.“ R. — Anglus: „Lege: καὶ ἀνθρώποις ἁγίοις. Id enim ipsa sententia, et antithesis, quae mox sequitur, plane postulant. Sic autem paulo post: Εἰ δὲ ἀνθρώποις ἁγίοις ταῦτα προσενεκτέον. Intercidit vero hic, ut opinor, ἁγίοις eo, quod simile esset ανοις, abbreviate scripto pro: ἀνθρώποις.“

[2]) Ed. Oxoniensis: „δή.“

[3]) Anglus: „Id est, hominibus in genere, qua hominibus, sancti sint, nec ne. Sed desideratur fortasse πᾶσι, ut sit: ἀλλὰ δὴ καὶ πᾶσιν ἀνθρώποις.“

[4]) Ed. Oxon. perperam: „ἡμᾶς ἀξίους, ποιοῦντες τοῦ τυχεῖν.“ [5]) Act. VII, 60.

[6]) Cfr. Matth. XVII, 15. coll. Luc. IX, 38.

Ἀκούσας γάρ· „δίδαξον [1]) ἡμᾶς προσεύχεσθαι·“ οὐ διδάσκει αὐτῷ [2]) προσεύχεσθαι, ἀλλὰ τῷ πατρὶ, λέγοντας· „πάτερ [3]) ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,“ καὶ τὰ ἑξῆς. Εἰ γὰρ ἕτερος, ὡς ἐν ἄλλοις δείκνυται, κατ' οὐσίαν καὶ ὑποκείμενόν [4]) ἐστιν ὁ υἱὸς τοῦ πατρὸς, ἤτοι

---

[1]) Luc. XI, 1. [2]) Ed. Oxoniensis: „αὐτῷ.“

[3]) Cfr. Luc. XI, 1. coll. Matth. VI, 9.

[4]) Edd. Oxon. et Ruaei in textu: „ὑποκείμενός ἐστιν,“ ed. vero R. in notis: „Lege: ὑποκείμενόν ἐστιν·“ — Anglus: „Ὑποκείμενός ἐστιν, id est: ὑποτεταγμένος ἐστίν, *subjectus*. Sed nusquam alias Origenes, nec ullus, quod sciam, alius de Patribus, de filii subjectione utitur voce: ὑποκείμενος. Neque illa Genitivum regit, sed Dativum; neque etiam hic de filii subjectione agi videtur, sed distinctione tantum, quatenus alia est a Patre persona. Quocirca legendum suspicor: ὑποκείμενόν ἐστιν, ut sit: ἕτερος τοῦ πατρὸς κατ' οὐσίαν καὶ ὑποκείμενον, *a patre alius secundum essentiam et suppositum*: quod se alibi (in Joann. Tom. 10. num. 21.) ait ostendisse, nempe contra Noetianos, qui affirmabant filium οὐσίᾳ καὶ ὑποκειμένῳ ἓν esse cum patre. Hos igitur hic quoque oppugnans dicit filium ἕτερον esse κατ' οὐσίαν καὶ ὑποκείμενον, hoc est: καθ' ὑπόστασιν, quemadmodum dicto loco se explicat; nam οὐσία et ὑποκείμενον constituunt ὑπόστασιν, seu personae ἰδιότητα, quam ἰδίαν οὐσίαν vocat in Joann. Tom. 1. sub finem num 41., et Tom. 2. num. 2., et contra Beryll. apud Euseb. Eccl. Hist. VI, 33. Vult igitur filium, licet cum patre ἓν οὐσίᾳ sit (in Joann. Tom. 10. num. 21.), tamen κατ' ἰδιότροπον ὑπόστασιν a patre ἕτερον esse, ita ut sint τῇ ὑποστάσει δύο πράγματα, (cfr. contra Celsum. lib. VIII. num. 12.), unus vero essentia Deus; cum una sit illa οὐσία, quae per ἰδιότητας distinguitur, et κατὰ περιγραφὴν alia est patris, alia filii; indivisa tamen, atque idcirco in utroque eadem: pater enim, ut ait ipse Origenes, ἀδιαίρετος καὶ ἀμέριστος υἱοῦ γίνεται πατήρ, (ap. Euseb. contra Marcell. pag. 22.), et ἀχώριστός ἐστι τοῦ υἱοῦ ὁ πατήρ (in Matth. Tom. 13. num. 19.). Igitur quamvis filium dicat δευτέραν ὑπόστασιν, (ap. Euseb. loc. cit.), atque δεύτερον θεόν, (contra Celsum. lib. V. num. 39.), ambos tamen affirmat esse ἕνα θεόν, (contra Celsum lib. VIII. num. 12.). Quodsi retinere malis Cod. lectionem: ἕτερος κατ' οὐσίαν καὶ ὑποκείμενός ἐστιν, tum per οὐσίαν intelligas oportet hypostasin, seu per-

προσευκτέον τῷ υἱῷ, καὶ οὐ τῷ πατρὶ, ἢ ἀμφοτέροις, ἢ τῷ πατρὶ μόνῳ. Τὸ μὲν οὖν· „τῷ υἱῷ, καὶ οὐ τῷ πατρί·" πᾶς ὁστισοῦν ὁμολογήσει εἶναι ἀτοπώτατον καὶ παρὰ τὴν ἐνάργειαν[1]) λεχθησόμενον ἄν· εἰ δὲ ἀμφοτέροις, δῆλον ὅτι καὶ ἀξιώσεις προσενεγκοῦμεν πληθυντικῶς, παρασχέσθε, καὶ εὐεργετήσατε, καὶ ἐπιχορηγήσατε, καὶ σώσατε, καὶ εἴ τι τούτων ὅμοιον, διὰ τῶν προσευχῶν λέγοντες. Ὅπερ καὶ αὐτόθεν ἀπεμφαῖνον, οὐδὲ ἐν ταῖς γραφαῖς ἔχει τις δεῖξαι κείμενον ὑπό τινων λεγόμενον. Λείπεται[2]) τοίνυν προσεύχε-

---

sonam; quo in sensu vocem *οὐσίαν* ab ipso Origene, aliisque Patribus, usurpari docuit Bullus in Defens. Fid. Nic. Sect. 2. cap. 9., ut loci hujus mens sit: filium aliam a patre esse personam, eique subjectum, sive subordinatum."

[1]) Cod. Mscr. „*ἐνάργειαν*." Ed. Oxoniensis: „*ἐνέργειαν*." R. — Anglus: „Male *ἐνάργειαν* mutavit ed. Oxon. in *ἐνέργειαν*, nempe: *παρὰ τὴν ἐνέργειαν λεχθησόμενον*, ***praeter efficaciam dicetur,*** orandum esse filium. Quorum ego quidem sensum non video. At hoc plane vult Origenes, eum, scil. qui filium, et non patrem, orandum esse affirmaverit, absurde, et *παρὰ τὴν ἐνάργειαν*, ***praeter rei evidentiam,*** id dicturum esse. Hac autem phrasi saepe utitur Origenes, e. c. Comm. in Psalm. *παρὰ τὸ ἐναργὲς εἶναί φαμεν*. Et in Joann. Tom. 13. num. 21. *ὡς ἠλίθιοι, καὶ παρὰ τὰ ἐναργῆ λέγοντες*. Atque in Joann. Tom. 2. num. 8. *τὰ ὑπ' αὐτοῦ (Ἡρακλέωνος) παρὰ τὴν ἐνάργειαν ἐπαγγελόμενα*. Sic enim recte legit ex Cod. Veneto Ferrarius, et e Cod. Bodlejano Grabius (Spic. Sec. 2. p. 86.), etsi ibi quoque Huetius lectionem deteriorem, *ἐνέργειαν*, retinuit. Sic in hoc nostro libello infra, num. 32., idem editor Oxon. *ἐνεργῶς* iterum pro *ἐναργῶς ἐμφαίνειν* reposuit."

[2]) Edd. Oxon. et Ruaei in textu: „*λέγεται*," ed. vero R. in notis: „Lego cum Bentlejo: *λείπεται*." — Anglus: „Cod. Mscr. habet: *λέγεται*, uti et ed. Oxon. exhibuit. Sed vera certe lectio est: *λείπεται*, sicut ipse locus demonstrat: quippe tres in antecedd. orandi modos proposuit, scil. ut preces nostras vel ad filium sine patre, vel ad utrumque simul, vel ad solum patrem dirigeremus: rejectis vero duobus primis, tertium nunc restare dicit nobis utendum: *λείπεται τοίνυν προσεύχεσθαι μόνῳ τῷ θεῷ τῷ τῶν ὅλων πατρί*."

σθαι μόνῳ τῷ θεῷ τῷ τῶν ὅλων πατρί· ἀλλὰ μὴ [1]) χωρὶς τοῦ ἀρχιερέως, ὅστις μεθ' ὁρκωμοσίας κατεστάθη ὑπὸ τοῦ πατρὸς, κατὰ τό· „ὤμοσε,[2]) καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ." Εὐχαριστοῦντες οὖν οἱ ἅγιοι ἐν ταῖς προσευχαῖς ἑαυτῶν τῷ θεῷ, [3]) διὰ Χριστοῦ Ἰησοῦ χάριτας ὁμολογοῦσιν [4]) αὐτῷ. Ὥσπερ δὲ τὸν ἀκριβοῦντα τὸ προσεύχεσθαι, οὐ χρὴ τῷ εὐχομένῳ προσεύχεσθαι, ἀλλὰ τῷ ὃν ἐδίδαξεν ἐπὶ τῶν εὐχῶν καλεῖν πατρὶ [5]) ὁ κύριος ἡμῶν Ἰησοῦς· οὕτως οὐ χωρὶς αὐτοῦ προσευχήν τινα προσενεκτέον τῷ πατρί· ὡς αὐτὸς τοῦτο παραδείκνυσι σαφῶς οὕτω λέγων· „ἀμὴν [6]) ἀμὴν λέγω ὑμῖν, ἄν τι αἰτήσητε [7]) τὸν πατέρα μου, δώσει ὑμῖν ἐν τῷ ὀνόματί μου. Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη." Οὐ γὰρ εἶπεν· „αἰτεῖτέ με·" οὐδέ· „αἰτεῖτε τὸν πατέρα·" ἁπλῶς, ἀλλ'· „ἐάν [8]) τι αἰτήσητε τὸν πατέρα, δώσει ὑμῖν ἐν τῷ ὀνόματί μου." Ἕως γὰρ διδάξῃ [9]) ταῦτα ὁ Ἰησοῦς, οὐδεὶς ᾐτήκει τὸν πατέρα ἐν τῷ ὀνόματι τοῦ υἱοῦ· καὶ ἀληθὲς ἦν ὑπὸ Ἰησοῦ λεγόμενον τό·

---

1) Cfr. Hebr. VII, 20. 21.

2) Cfr. Psalm. CX, 4. (CIX.) coll. Hebr. VII, 21. — Anglus: „Lege: ὤμοσε κύριος."

3) Ed. Oxoniensis: „θεῷ διὰ Χριστοῦ Ἰησοῦ, χάριτας."

4) Sic habet Cod. Mscr., in quo male legit editor Oxoniensis: „ὁμολογοῦντες." R.

5) Anglus: „Lege: „πατέρα." — Cui quidem Ruaeus haec respondet: „Nihil necesse est legi: πατέρα, nam πατρί referri potest ad praecedens τῷ."

6) Cfr. ev. Joann. XVI, 23. 24.

7) Cf. Anglus: „Cod. Mscr. αἰτήσηται."

8) Cfr. ev. Joann. XVI, 23. coll. pag. huj. not. 6.

9) Edd. Oxon. et R. in textu: „διδάξει," ed. vero R. in notis: „Lege cum Bentlejo: διδάξῃ." — Anglus: „Lege: ἐδίδαξε, quod efflagitat sententia."

„ἕως [1]) ἄρτι οὐκ ἠτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου·“ ἀληθὲς δὲ καὶ τό· „αἰτεῖτε, [2]) καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.“ Ἐὰν δέ τις οἰόμενος δεῖν αὐτῷ τῷ Χριστῷ προσεύχεσθαι, συγχεόμενος ἀπὸ τοῦ ἐν τῷ „προσκυνεῖν“ σημαινομένου, προσάγῃ ἡμῖν τὸ· „προσκυνησάτωσαν [3]) αὐτῷ πάντες ἄγγελοι θεοῦ·“ ὁμολογουμένως ἐν τῷ Δευτερονομίῳ περὶ Χριστοῦ εἰρημένον· λεκτέον πρὸς αὐτὸν, ὅτι καὶ ἡ ἐκκλησία Ἱερουσαλὴμ παρὰ [4]) τοῦ προφήτου ὀνομαζομένη, προσκυνεῖσθαι ὑπὸ βασιλέων καὶ ἀρχουσῶν γινομένων τιθηνῶν αὐτῆς, καὶ τροφῶν, λέγεται διὰ τούτων· „ἰδοὺ, [5]) αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου, καὶ εἰς τὰς νήσους ἀρῶ σύσσημόν μου· καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπὶ τῶν ὤμων ἀροῦσι. Καὶ ἔσονται βασιλεῖς τιθηνοί [6]) σου, αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου· ἐπὶ πρόσωπον τῆς γῆς προσκυνήσουσί [7]) σε, καὶ τὸν χοῦν τῶν ποδῶν σου λείξουσι· καὶ γνώσῃ, ὅτι ἐγὼ κύριος, καὶ οὐκ αἰσχυνθήσῃ.“ Πῶς δὲ οὐκ ἔστι κατὰ [8])

---

[1]) Ev. Joann. XVI, 24. [2]) Ev. Joann. XVI, 24.

[3]) Deut. XXXII, 43. coll. Hebr. I, 6.

[4]) Anglus: „Lege: *παρὰ τῷ προφήτῃ*. Ita male *παρὰ τοῦ Δαυίδ*, pro: *παρὰ τῷ Δαυίδ* scriptum notavimus num. 12.“

[5]) Cfr. Jesai. XLIX, 22. 23.

[6]) Ed. Ruaei: „*τιθηνοί σου· αἵδε ἄρχουσαι.*“

[7]) Ed. Oxoniensis: „*προσκυνήσουσι, καὶ τὸν χοῦν.*“

[8]) Anglus: „Totum hunc locum pervertit oscitans librarius; quem quidem fideliter secutus est editor Oxoniensis. Ego vero haec sic emendanda esse arbitror: *Πῶς δὲ οὐκ ἔστι κατὰ τὸν εἰπόντα· τί με —, ὁ πατήρ· εἰπεῖν αὐτῷ· τί ἐμοὶ προσεύχῃ;* id est: quidni autem ille, (Christus scilicet), qui dixit: *quid me dicis bonum?* —: huic quoque, scil. *τῷ οἰομένῳ δεῖν Χριστῷ προσεύχεσθαι*, dicat: *quid me precaris?* Nam ea hujus loci manifesta mens est.“ — Cui quidem Ruaeus haec respondet: „Hunc locum, ut edidimus, sic legit in Cod. Mscr. Walkerus. Atqui non legit: *εἰπεῖν ἄν τι*, sed: *εἰπεῖν ἄν· τί*“ κτλ. — Cfr. pag. 151. not. 2.

τὸν εἰπόντα· „τί [1]) με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς. εἰ μὴ εἷς ὁ θεὸς, ὁ πατήρ·“ εἰπεῖν [2]) ἄν· τί ἐμοὶ προσεύχῃ; Μόνῳ τῷ πατρὶ προσεύχεσθαι χρὴ, ᾧ κἀγὼ προσεύχομαι· ὅπερ διὰ τῶν ἁγίων γραφῶν μανθάνετε· ἀρχιερεῖ γὰρ τῷ ὑπὲρ ἡμῶν [3]) κατασταθέντι ὑπὸ τοῦ πατρὸς, καὶ παρακλήτῳ ὑπὸ [4]) τοῦ πατρὸς εἶναι λαβόντι, εὔχεσθαι ἡμᾶς [5]) οὐ δεῖ, ἀλλὰ δι᾽ ἀρχιερέως καὶ παρακλήτου, δυναμένου [6]) συμπαθεῖν ταῖς ἀσθενείαις ἡμῶν, [7]) πεπειρασμένου κατὰ πάντα ὁμοίως ἡμῖν, [8]) ἀλλὰ διὰ τὸν δωρησάμενόν μοι πατέρα πεπειρασμένου χωρὶς ἁμαρτίας. Μάθετε οὖν, ὅσην δωρεὰν ἀπὸ τοῦ πατρός μου εἰλήφατε, διὰ τῆς ἐν ἐμοὶ ἀναγεννήσεως τὸ τῆς υἱοθεσίας πνεῦμα ἀπειληφότες, ἵνα χρηματίσητε υἱοὶ θεοῦ, ἀδελφοὶ δὲ ἐμοῦ. Ἀνέγνωτε γὰρ τὴν διὰ τοῦ Δαυὶδ ὑπ᾽ ἐμοῦ εἰρημένην περὶ ὑμῶν πρὸς τὸν πατέρα φωνήν· „ἀπαγγελῶ [9]) τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.“ Ἀδελφῷ δὲ προσεύχεσθαι τοὺς κατηξιωμένους ἑνὸς αὐτοῦ [10]) πατρὸς οὐκ ἔστιν εὔλογον· μόνῳ γὰρ τῷ πατρὶ μετ᾽ ἐμοῦ καὶ δι᾽ ἐμοῦ ἀναπεμπτέον ἐστὶν ὑμῖν προσευχήν.

---

[1]) Cfr. Matth. XIX, 17. coll. Marc. X. 18. et Luc. XVIII, 19.

[2]) Ed. Oxoniensis: „εἰπεῖν, ἄν τι ἐμοί.“ — Cfr. pag. 150. not. 8.

[3]) Ruaeus: „Lego cum Bentlejo: ὑμῶν.“ — Item fere Anglus: „Lege: ὑμῶν. Nam cultores suos hic alloquitur Christus.“

[4]) Anglus: „Lege: ἀπό. Sic paulo post: ὅσην δωρεὰν ἀπὸ τοῦ πατρὸς εἰλήφατε.“

[5]) Ruaeus: „Lego cum Bentlejo: ὑμᾶς.“ — Item Anglus. [6]) Cfr. Hebr. IV, 15.

[7]) Ruaeus: „Lego cum Bentlejo: ὑμῶν.“ — Item Anglus.

[8]) Ruaeus: „Lego cum Bentlejo: ὑμῖν.“ — Item Anglus.

[9]) Cfr. Psalm. XXII, 22. (XXI.)

[10]) Bentlejus legit: „αὐτῷ.“ R. — Anglus: „Forte: αὐτῷ, id est: σὺν αὐτῷ.“

16. *Ταῦτ' οὖν λέγοντος ἀκούοντες Ἰησοῦ, τῷ θεῷ δι' αὐτοῦ εὐχώμεθα, τὸ αὐτὸ λέγοντες πάντες, μηδὲ περὶ τοῦ τρόπου τῆς εὐχῆς σχιζόμενοι. Ἢ οὐχὶ σχιζόμεθα, ἐὰν οἱ μὲν τῷ πατρὶ, οἱ δὲ τῷ υἱῷ εὐχώμεθα; ἰδιωτῶν ἁμαρτίαν κατὰ πολλὴν ἀκεραιότητα διὰ τὸ ἀβασάνιστον καὶ ἀνεξέταστον ἁμαρτανόντων τῶν προσευχομένων τῷ υἱῷ, εἴτε μετὰ τοῦ πατρὸς, εἴτε χωρὶς τοῦ πατρός. Προσευχώμεθα τοίνυν ὡς θεῷ· ἐντυγχάνωμεν δὲ ὡς πατρὶ, δεώμεθα δὲ ὡς κυρίου, εὐχαριστῶμεν δὲ ὡς θεῷ καὶ πατρὶ καὶ κυρίῳ, οὐ πάντως δούλου* [1]) *ὄντι κυρίῳ· ὁ γὰρ πατὴρ εὐλόγως ἂν νομισθείη τοῦ υἱοῦ καὶ κύριος, καὶ τῶν δι' αὐτὸν γενομένων* [2]) *υἱῶν κύριος. Ὥσπερ δὲ „οὐκ* [3]) *ἔστι θεὸς νεκρῶν, ἀλλὰ ζώντων," οὕτως οὐκ ἔστι κύριος ἀγενῶν δούλων, ἀλλὰ τῶν κατὰ μὲν τὰς ἀρχὰς φόβῳ διὰ τὴν νηπιότητα ἐξευγενιζομένων· μετὰ δὲ ταῦτα καὶ* [4]) *τὴν ἀγάπην μακαριωτέραν τῆς ἐν φόβῳ δουλείας δουλευόντων· εἰσὶ γὰρ καὶ ἐν τῇ ψυχῇ μόνῳ τῷ καρδίας βλέποντι χαρακτῆρες φανεροὶ δούλων θεοῦ, καὶ υἱῶν αὐτοῦ. Πᾶς τοιγαροῦν ὁ τὰ ἐπίγεια καὶ μικρὰ αἰτῶν ἀπὸ τοῦ θεοῦ, παρακούει τοῦ ἐντειλαμένου ἐπουράνια καὶ μεγάλα αἰτεῖν ἀπὸ τοῦ μηδὲν ἐπίγειον, μηδὲ μικρὸν χαρίζεσθαι ἐπισταμένου θεοῦ. Ἐὰν δέ τις ἀνθυποφέρῃ τὰ κατὰ τὸ σωματικὸν ἐκ προσευχῆς τοῖς ἁγίοις δωρηθέντα, ἀλλὰ καὶ τὴν τοῦ εὐαγγελίου φωνὴν διδάσκοντος τὰ*

---

[1]) Anglus non male: „Lege: *δούλων*."

[2]) Ed. Oxoniensis: „*γινομένων*."

[3]) Cfr. Matth. XXII, 32.

[4]) Forte cum Bentlejo legendum: „*κατὰ τήν*," aut: „*διὰ τὴν ἀγάπην μακαριωτέραν τῆς ἐν φόβῳ δουλείαν δουλευόντων*." R. — Anglus: „Rectius, ut opinor, sic legas hunc locum: *καὶ τῆς ἀγάπης μακαριωτέραν τῆς ἐν φόβῳ δουλείαν δουλευόντων*. Cfr. I Joann. IV, 18."

ἐπίγεια ἡμῖν [1]) προστίθεσθαι, [2]) καὶ τὰ μικρά· ἀπαντητέον πρὸς αὐτὸν, ὅτι ὥσπερ οὐ λεκτέον δωρουμένου τινὸς ἡμῖν ὅ, τι δήποτε σῶμα, ὅτι ὁ δεῖνα τὴν σκιὰν ἡμῖν τοῦ σώματος ἐδωρήσατο· — οὐ γὰρ προθέμενος δύο τινὰ χαρίσασθαι, σῶμα καὶ σκιὰν, δέδωκε τὸ σῶμα· ἀλλ᾽ ἡ πρόθεσις τοῦ διδόντος ἐστὶ διδόναι σῶμα· ἐπακολουθεῖ δὲ τῇ δόσει τοῦ σώματος καὶ τὸ τὴν σκιὰν αὐτοῦ ἡμᾶς λαβεῖν· — οὕτως εἰ μεγαλοφυεστέρῳ γενομένῳ ἡμῶν τῷ νῷ κατανοήσαιμεν τὰς προηγουμένως [3]) ὑπὸ τοῦ θεοῦ ἡμῖν διδομένας δωρεὰς, οἰκειότατα ἐροῦμεν παρακολουθήματα τῶν μεγάλων καὶ ἐπουρανίων πνευματικῶν χαρισμάτων εἶναι τὰ σωματικὰ, ἑκάστῳ [4]) διδόμενα τῶν ἁγίων πρὸς τὸ συμφέρον, ἢ κατ᾽ ἀναλογίαν [5]) τῆς πίστεως, ἢ καθὼς βούλεται ὁ διδούς· βούλεται δὲ σοφῶς, εἰ καὶ ἡμεῖς μὴ δυνάμεθα ἑκάστῳ [6]) τῶν διδομένων αἰτίαν καὶ λόγον ἄξιον τοῦ διδόντος εἰπεῖν. Μᾶλλον οὖν κεκαρποφορήκει [7]) ἀπό τινος στειρώσεως μεταβαλοῦσα ἡ τῆς Ἄννης [8]) ψυχὴ, ἤπερ τὸ σῶμα κυῆσαν τὸν Σαμουήλ. Καὶ μᾶλλον ὁ Ἐζεκίας θεῖα γεγεννήκει [9]) τέκνα νοῦ, ἤπερ [10]) τῶν ἐκ τοῦ σωματικοῦ

---

[1]) Edd. Oxon. et Ruaei in textu: „ὑμῖν," ed. vero R. in notis: „Bentlejus legit: ἡμῖν."

[2]) Anglus: „Lege: προστεθήσεται, nam ipsa evangelii istius verba recitat. Cfr. Matth. VI, 33."

[3]) Sic recte habet Cod. Mscr., male vero ed. Oxoniensis: „προηγουμένας." R.

[4]) Cfr. I Cor. XII, 7. [5]) Cfr. Rom. XII, 6.

[6]) Anglus: „Lege: ἑκάστου."

[7]) Anglus: „Lege: ἐκεκαρποφορήκει."

[8]) Cfr. I Sam. I, 19. 20. (I Regg.)

[9]) Anglus: „Lege: ἐγεγεννήκει."

[10]) Bentlejo videtur forte legendum: „ἤπερ τὸ ἐκ τοῦ σωματικοῦ σπέρματος αὐτῷ γεγεννημένον." R. — Anglus: „Lege: ἤπερ τὰ ἐκ τοῦ σωματικοῦ σπέρματος αὐτοῦ γεγεννημένα."

σπέρματος αὐτοῦ[1]) *γεγεννημένων. Ἐπιπλεῖόν τε ἀπὸ νοητῶν ἐπιβουλῶν ῥυσθέντες ἐτύγχανον Ἐσθὴρ καὶ Μαρδοχαῖος καὶ ὁ λαὸς, ἤπερ ἀπὸ τοῦ Ἀμὰν,*[2]) *καὶ τῶν συμπνεόντων. Τοῦ διαφθεῖραι τὴν ψυχὴν αὐτῆς θέλοντος ἄρχοντος τὴν δύναμιν διακεκόφει, ἢ ἐκείνου τοῦ Ὀλοφέρνου. Τίς*[3]) *δ' οὐκ ἂν ὁμολογήσαιτο Ἀζαρίᾳ καὶ τοῖς σὺν αὐτῷ, τὴν νοητὴν εὐλογίαν φθάνουσαν ἐπὶ πάντας τοὺς ἁγίους, εἰρημένην ὑπὸ τοῦ Ἰσαὰκ τῷ Ἰακὼβ, τήν· „δῴη*[4]) *σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ·" ἐπὶ πλεῖον ἐγγεγονέναι, ἤπερ τὴν σωματικὴν δρόσον τὴν φλόγα νικῶσαν τοῦ Ναβουχοδονόσορ; Μᾶλλον δὲ πεφίμωντο*[5]) *τῷ προφήτῃ Δανιὴλ*[6]) *οἱ*

---

[1]) Ed. Oxoniensis: „*αὐτῶν.*" Cfr. pag. 153. not. 10.

[2]) Ed. Oxoniensis: „*Ἀμάν· καὶ τῶν συμπνεόντων τοῦ διαφθεῖραι τὴν ψυχὴν αὐτῆς Ἰουδὶθ θέλοντος ἄρχοντος τὴν δύναμιν διακεκόφει, ἢ ἐκείνου.*" — Anglus satis, ut videtur, accurate: „Mutilus est plane hic locus; atque in Cod. quidem ora ab eadem manu notatum inveni: *ἔσφαλται γραφή.* Quocirca totum ego locum sic restituendum arbitror: *Ἀμὰν, καὶ τῶν συμπνεόντων αὐτῷ· καὶ μᾶλλον τοῦ διαφθεῖραι τὴν ψυχὴν αὐτῆς θέλοντος ἄρχοντος Ἰουδὶθ τὴν δύναμιν διεκεκόφει, ἢ ἐκείνου.*" — Cui quidem loci emendationi Ruaeus haecce adjungit: „Textus nostri interpretatio latina: *quam ab Aman iisque, qui (in eorum perniciem) conspiraverant. (Judith validius) quaerentis animam ipsius corrumpere principis vires exscidit, quam illius Holophernis*: supponit hanc restitutionem." — Cfr. Esther. VI. coll. Judith. XIII.

[3]) Ed. Ruaei in textu: „*Τίς δ' οὐκ ἂν ὁμολογήσαιτο Ἀνανίᾳ,*" in notis: „Sic habet Cod. Mscr., ed. vero Oxoniensis: *Τίς δὴ οὐκ ἂν ὁμολογήσαι τῷ Ἀζαρίᾳ.*" — Cfr. Cantic. trium pueror. vers. 1. seqq. coll. Dan. (sec. LXX. interpretes) III, 25.

[4]) Cfr. Gen. XXVII, 28.

[5]) Anglus: „Lege: *ἐπεφίμωντο.*"

[6]) Cfr. Dan. VI, 22.

ἀόρατοι λέοντες, οὐδὲν ἐνεργῆσαι δυνάμενοι κατὰ τῆς ψυχῆς αὐτοῦ, ἤπερ οἱ αἰσθητοὶ, περὶ ὧν πάντες οἱ ἐντυγχάνοντες αὐτῇ τῇ γραφῇ ἐξειλήφαμεν. Τίς [1]) δ' οὕτως ἐκπεφεύγει [2]) τοῦ κεχειρωμένου ὑπὸ τῷ Ἰησοῦ τῷ σωτῆρι ἡμῶν κήτους [3]) τὴν γαστέρα, πάντα τὸν φυγάδα τοῦ θεοῦ καταπίνοντος, ὡς Ἰωνᾶς [4]) χωρητικὸς γινόμενος, ὡς ἅγιος, ἁγίου πνεύματος;

17. Οὐ θαυμαστὸν δὲ, εἰ [5]) μὴ [6]) πᾶσιν ὁμοίως τοῖς λαμβάνουσιν, ἵν' οὕτως εἴπω, τὰ ποιητικὰ τῶν τοιούτων σκιῶν σώματα, ἡ [7]) ὁμοία οὐ δίδοται σκιὰ, τισὶ δ' ὅλως οὐ δίδοται σκιά· τοῦτο γὰρ τοῖς θεωροῦσι τὰ γνωμονικὰ προβλήματα, καὶ τὸν τῶν σκιῶν πρὸς

---

[1]) Sic Cod. Mscr., ed. vero Oxoniensis: „Τίς δι' οὕτως." Bentlejus legit: „Τίς δ' οὐχ οὕτως." R.

[2]) Anglus: „Lege: ἐκπέφευγε."

[3]) Anglus: „Diaboli scil. ἀλληγορικῶς. Respicit vero ad verba Job. III, 8. secundum LXX. interpretes: ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι."

[4]) Cfr. Jon. I. II.

[5]) Edd. Oxon. et R. in textu: „εἰ μὴ πᾶσιν ὁμοίως — σώματα, ἢ ὅμοιον οὐ δίδοται σκιὰ, τισὶ δ' ὁμοίως δίδοται σκιά." — Anglus: „Nulla ex his loco apta oritur sententia. Sic igitur emendanda mihi videntur: εἰ μὲν πᾶσι, τοῖς ὁμοίως λαμβάνουσιν, ἵν' οὕτως εἴπω, τὰ ποιητικὰ τῶν τοιούτων σκιῶν σώματα, ὁμοίως οὐ δίδοται σκιά." — Cui quidem Ruaeus haec respondet: „Eandem jam proposuerat Bentlejus emendationem, et idem praeterea, cfr. pag. huj. not. 7., pro: τισὶ δ' ὁμοίως δίδοται σκιά, legit: τισὶ δ' ὅλως οὐ δίδοται σκιά."

[6]) Legerim cum Anglo: „μέν."

[7]) Edd. Oxon. et R. in textu, illa: „ἢ ὅμοιον, οὐ δίδοται σκιὰ, τισὶ δ' ὁμοίως δίδοται σκιά." haec: „ἢ ὅμοιον οὐ δίδοται σκιὰ, τισὶ δ' ὁμοίως δίδοται σκιά," ed. vero R. in notis: „Lego cum Bentlejo: ἡ ὁμοία οὐ δίδοται σκιὰ, τισὶ δ' ὅλως οὐ δίδοται σκιά." — Cfr. pag. huj. not. 5.

τὸ φωτίζον σῶμα λόγον, σαφῶς παρίσταται συμβαῖνον καὶ κατὰ [1]) τὰ σώματα. Τισὶ γοῦν ἄσκιοί εἰσιν οἱ γνώμονες καιρῷ τινι· ἑτέροις δὲ, ἵν' οὕτως εἴπω, βραχύσκιοι· [2]) καὶ ἑτέροις παρ' ἑτέρους μακροσκιώτεροι. Οὐ μέγα τοίνυν, εἰ τῆς προθέσεως [3]) τοῦ δωρουμένου τὰ προηγούμενα, χαριζομένου κατά τινας ἀναλογίας ἀποῤῥήτους καὶ μυστικὰς ἁρμοζόντως τοῖς λαμβάνουσι, καὶ τοῖς χρόνοις, ὅτε δίδοται τὰ προηγούμενα, ὁτὲ μὲν οὐδ' ὅλως αἱ σκιαὶ τοῖς λαμβάνουσιν ἕπονται, ὁτὲ δὲ οὐ πάντων, ἀλλ' ὀλίγων, ὁτὲ δὲ ἐλάττους συγκρίσει ἑτέρων μειζόνων ἄλλοις ἐπακολουθουσῶν. [4]) Ὥσπερ οὖν τὸν ζητοῦντα τὰς ἡλιακὰς ἀκτῖνας, οὔτε παροῦσα, οὔτε ἀποῦσα ἡ τῶν [5]) σωμάτων σκιὰ εὐφραίνει, ἢ λυπεῖ· ἔχοντα τὸ ἀναγκαιότατον, ἐπὰν πεφωτισμένος, [6]) ἤτοι ἐστερημένος ᾖ τῆς σκιᾶς, ἢ πλεῖον, ἢ ἔλαττον ἔχῃ τῆς σκιᾶς· οὕτως ἂν παρῇ ἡμῖν τὰ πνευματικὰ, καὶ φωτιζώμεθα ὑπὸ τοῦ θεοῦ πρὸς τὴν παντελῆ κτῆσιν τῶν ἀληθινῶν ἀγαθῶν, οὐ μικρολογήσομεν περὶ εὐτελοῦς πράγματος τοῦ κατὰ τὴν σκιάν. Πάντα γὰρ τὰ

---

[1]) Anglus: „Mendum hic suspicor; umbrae enim meridianae non pro corporum, sed climatum ratione variantur, atque aut longae, aut breves, aut omnino nullae fiunt, prout φωτίζον σῶμα (sol scil.) a locorum vertice longius propiusve distat, vel in ipso etiam vertice versatur. Sic igitur lego et distinguo: συμβαῖνον κατὰ τὰ κλίματα· τισὶ γοῦν."

[2]) Cod. Mscr. recte: „βραχύσκιοι." Ed. Oxoniensis: „βραχυόσκιοι." R.

[3]) Cod. Mscr. „προθέσεως." Male ed. Oxoniensis: „προθήσεως." R.

[4]) Cod. Mscr. „ἐπακολουθουσῶν," ed. autem Oxoniensis: „ἐπακολουθοῦσι." R.

[5]) Bentlejus legit: „τοῦ σώματος." R.

[6]) Lego cum Bentlejo: „πεφωτισμένος ᾖ, εἴτ' ἐστερημένος." R. — Item fere Anglus: „Desiderari hic videtur ᾖ, ut sit: πεφωτισμένος ᾖ, ἤτοι ἐστερημένος κτλ. Nimirum vocula ᾖ ab eadem insequenti vocali absorpta est."

ὑλικὰ καὶ τὰ σωματικὰ, ὁποῖά ποτε ἂν τυγχάνῃ, σκιᾶς ἀμενηνοῦ καὶ ἀδρανοῦς ἔχει λόγον, οὐδαμῶς δυνάμενα παραβάλλεσθαι πρὸς τὰς σωτηρίους τοῦ θεοῦ τῶν ὅλων καὶ ἁγίας δωρεάς. Ποία γὰρ σύγκρισις σωματικοῦ πλούτου πρὸς τὸν ἐν παντὶ λόγῳ [1]) πλοῦτον καὶ πάσῃ σοφίᾳ; Τίς [2]) δ' ἂν μὴ μαινόμενος παραβάλοι ὑγείαν σαρκῶν καὶ ὀστέων πρὸς ὑγιαίνοντα νοῦν, καὶ ἐῤῥωμένην ψυχὴν, καὶ συμμέτρους λογισμούς; Ἅτινα πάντα λόγῳ ῥυθμιζόμενα θεοῦ, εὐτελῆ τινα ἀμυχὴν, καὶ εἴ τι ἀμυχῆς βραχύτερον νομίζομεν, ποιεῖ τὰ σωματικὰ παθήματα. Ὁ δὲ κατανοήσας τί ποτ' ᾖ τὸ κάλλος τῆς νύμφης, ἧς ὁ νυμφίος [3]) λόγος ὢν θεοῦ ἐρᾷ, ψυχῆς τυγχανούσης ἀνθούσης ὑπερουρανίῳ καὶ ὑπερκοσμίῳ κάλλει, αἰδεσθήσεται [4]) κἂν τῷ αὐτῷ ὀνόματι τοῦ κάλλους τιμῆσαι σωματικὸν κάλλος γυναικὸς, ἢ παιδὸς, ἢ ἀνδρός· τὸ γὰρ κυρίως κάλλος σὰρξ οὐ χωρεῖ, πᾶσα τυγχάνουσα αἶσχος. Πᾶσα γὰρ σὰρξ ὡς χόρτος, καὶ ἡ δόξα αὐτῆς, ἥτις ἐστὶν ἐμφαινομένη τῷ λεγομένῳ κάλλει γυναικῶν καὶ παιδίων, ἄνθει κατὰ τὸν προφητικὸν παραβέβληται λόγον, λέγοντα· „πᾶσα [5]) σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα τοῦ κυρίου μένει [6]) εἰς τὸν αἰῶνα.“ Ἀλλὰ καὶ εὐγένειάν τις ἔτι κυρίως ὀνομάσει τὴν τετριμμένην λέγεσθαι παρὰ ἀνθρώποις, νοήσας εὐγένειαν υἱῶν θεοῦ; Βασιλείαν [7]) δὲ Χριστοῦ ἀσάλευτον θεωρήσας ὁ νοῦς, πῶς

---

[1]) Cfr. I Cor. I, 5.

[2]) Cod. Mscr. „τίς δ' ἄν.“ Ed. Oxoniensis: „τίς δὴ ἄν.“ R. [3]) Cfr. ev. Joann. III, 29.

[4]) Ed. Oxoniensis: „αἰδηθήσεται.“

[5]) Cfr. Jesai. XL, 6—8.

[6]) Cod. Mscr. „μένει.“ Ed. Oxoniensis: „μένοι.“ R.

[7]) Ed. R. in textu: „βασιλείαν δὲ Χριστοῦ βασιλευόντων θεωρήσας,“ in notis: „Sic Cod. Mscr. Editio Oxoniensis: βασιλέα δὲ Χριστὸν βασιλευόντων θεωρήσας.

οὐ καταφρονήσει ὡς οὐδενὸς λόγου ἀξίας πάσης τῆς ἐπὶ γῆς βασιλείας; Στρατιάν τε ἀγγέλων, καὶ ἀρχιστρατήγους ἐν αὐτοῖς δυνάμεων κυρίου ἀρχαγγέλους τε, καὶ θρόνους, καὶ κυριότητας, καὶ ἀρχὰς, καὶ ἐξουσίας ὑπερουρανίους, ὡς χωρεῖ ὁ ἔτι δεδεμένος σώματι ἀνθρώπινος νοῦς, κατὰ τὸ δυνατὸν τρανῶς ἰδὼν, καὶ κατειληφὼς δύνασθαι ἰσοτίμου παρὰ τοῦ πατρὸς ἐκείνοις τυχεῖν· πῶς [1]) οὐχὶ καὶ σκιᾶς ἀδρανέστερος, ἢ [2]) καὶ τούτων τῶν παρὰ τοῖς ἀνοήτοις θαυμαζομένων ὡς ἀμαυροτάτων καὶ οὐδενὸς λόγου ἀξίων συγκρίσει καταφρονῶν, κἂν διδῶται ταῦτα πάντα, ὑπερόψεται ὑπὲρ τοῦ τῶν ἀληθινῶν ἀρχῶν καὶ θειοτέρων ἐξουσιῶν μὴ ἀποτυχεῖν; Εὐκτέον τοίνυν, εὐκτέον περὶ τῶν προηγουμένων, καὶ ἀληθῶς μεγάλων καὶ ἐπουρανίων· καὶ τὰ περὶ τῶν ἐπακολουθουσῶν σκιῶν τοῖς προηγουμένοις θεῷ ἐπιτρεπτέον, τῷ ἐπισταμένῳ ὧν [3]) χρείαν διὰ τὸ ἐπίκηρον σῶμα ἔχομεν, πρὸ τοῦ ἡμᾶς αἰτῆσαι αὐτόν.

18. Αὐτάρκως δὴ [4]) ἐν τούτοις κατὰ τὴν δεδομένην χάριν, ὡς κεχωρήκαμεν ὑπὸ [5]) θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ· — ἀλλ' εἴθε καὶ ἐν ἁγίῳ πνεύματι· ὅπερ

Lego cum Bentlejo: βασιλείαν δὲ Χριστοῦ ἀσάλευτον θεωρήσας, ex Hebr. XII, 28." — Anglus: „Pro: βασιλευόντων, lege: βασιλεύοντος."

[1]) Lego: „πῶς οὐχὶ κἂν σκιᾶς ἀδρανέστερος ᾖ." R. — Cfr. pag. huj. not. 2.

[2]) Anglus: „Particulae: ἢ καί, ex praecedentibus: οὐχὶ καί, male natae videntur, atque loco plane ineptae sunt; quippe quae sensu conjuncta disjungunt: illa enim: παρὰ τοῖς ἀνοήτοις θαυμαζόμενα, non alia sunt, quam quae ante dixit: σκιᾶς ἀδρανέστερα. Sic igitur legendum opinor: σκιᾶς ἀδρανεστέρων τούτων τῶν παρὰ τοῖς ἀνοήτοις θαυμαζομένων." — Cfr. pag. huj. not. 1.

[3]) Cfr. Matth. VI, 8.

[4]) Anglus: „Lege: δέ, et post: τούτους, subaudi: ἐγενόμεθα, nisi id additum malis, ut sit: αὐτάρκως δὲ ἐν τούτοις ἐγενόμεθα."

[5]) Lego cum Bentlejo: „ἀπὸ θεοῦ." R.

εἰ οὕτως ἔχει, κρινεῖτε ἐντυγχάνοντες τῇ γραφῇ· — ἡμῖν εἰρημένοις, ἐξετάσαντες τὸ περὶ εὐχῆς πρόβλημα, ἤδη [1]) καὶ ἐπὶ τὸν ἑξῆς ἆθλον [2]) ἐλευσόμεθα, τὴν ὑπογραφεῖσαν ὑπὸ τοῦ κυρίου προσευχὴν, ὅσης δυνάμεως πεπλήρωται, θεωρῆσαι βουλόμενοι. Καὶ πρὸ πάντων γε παρατηρητέον, ὅτι ὁ Ματθαῖος καὶ ὁ Λουκᾶς δόξαιεν ἂν τοῖς πολλοῖς τὴν αὐτὴν ἀναγεγραφέναι ὑποτετυπωμένην πρὸς τὸ δεῖν οὕτως προσεύχεσθαι προσευχήν. Ἔχουσι δὲ αἱ λέξεις τοῦ μὲν Ματθαίου τὸν τρόπον τοῦτον· „πάτερ [3]) ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ·“ τοῦ δὲ Λουκᾶ οὕτως· „πάτερ, [4]) ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέραν· καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ

---

[1]) Anglus: „Origenes, peractis iis, quae de quaestione περὶ εὐχῆς in genere dicenda habuit, pergit nunc ad dominicae orationis explicationem, quae pensi istius, quod ab eo exigebat Ambrosius, altera pars erat; ad quam sic in Cod. Mscr. fit transitio: προβλήματος (?). Ἤδη καὶ ἐπὶ τὸν ἑξῆς ἆθλον κτλ. Editor autem Oxon. novum hic titulum praefixit: Ἐξήγησις τῆς προσευχῆς κυριακῆς, et sectionum numerum de integro orsus est: quam ob rem vero id fecerit, non video, nisi quod ille pro: ἆθλον, male legens: ἄλλον (scil. λόγον), alterum syntagmatis librum, seu Tomum, eo indicari putaverit.“

[2]) Cod. Mscr. recte: „ἆθλον.“ Male ed. Oxoniensis: „ἄλλον.“ R. — Cfr. pag. huj. not. 1.

[3]) Cfr. Matth. VI, 9—13.

[4]) Cod. Mscr. „πάτερ, ἁγιασθήτω.“ Ed. Oxoniensis: „πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω.“ R. — Cfr. Luc. XI, 2—4.

τῷ ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.“ Λεκτέον δὲ πρὸς τοὺς οὕτως ὑπολαμβάνοντας, ὅτι πρῶτον μὲν τὰ ῥήματα, εἰ καὶ γειτνιῶντά τινα ἔχει ἀλλήλοις, ἀλλὰ καὶ ἐν ἄλλοις διαφέρειν φαίνεται· ὡς ἐρευνῶντες αὐτὰ παραστήσομεν· δεύτερον δὲ, ὅτι οὐχ οἷόν τέ ἐστι τὴν αὐτὴν προσευχὴν καὶ ἐν τῷ ὄρει λέγεσθαι· ἔνθα ἰδὼν [1]) τοὺς ὄχλους ἀνέβη, ὅτε καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν· — ἐν γὰρ τῷ εἱρμῷ τῆς περὶ τῶν μακαρισμῶν ἀπαγγελίας, καὶ τῶν ἑξῆς ἐντολῶν, παρὰ τῷ Ματθαίῳ αὕτη ἀναγεγραμμένη εὑρίσκεται· — καὶ ἐν τῷ εἶναι [2]) αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἰρῆσθαι πρός τινα τῶν μαθητῶν ἀξιώσαντα διδαχθῆναι προσεύχεσθαι, ὡς καὶ Ἰωάννης ἐδίδασκε τοὺς μαθητὰς αὐτοῦ. Πῶς γὰρ ἐνδέχεται, [3]) τοὺς αὐτοὺς λόγους χωρὶς πάσης προγενομένης πεύσεως ἀποτατικῶς [4]) εἰρῆσθαι, καὶ πρὸς ἀξίωσιν μαθητοῦ ἀπαγγέλλεσθαι; Ἀλλ' ἴσως τις εἴποι ἂν πρὸς τοῦτο, ὅτι ἰσοδυναμοῦσαί εἰσιν αἱ εὐχαὶ εἰρημέναι ὡς μία, ὁτὲ μὲν ἐν ἀποτατικῷ [5]) λόγῳ, ὁτὲ δὲ πρὸς ἕτερον τῶν μαθητῶν τὸν ἀξιώσαντα, κατὰ τὸ εἰκὸς τότε μὴ παρόντα, ὅτε ἔλεγε τὸ [6]) κατὰ τὸν Ματθαῖον, ἢ μὴ κεκρατηκότα [7]) τῶν εἰρημένων πάλαι. Μήποτε δὲ

---

[1]) Cfr. Matth. V, 1. 2. [2]) Cfr. Luc. XI, 1.

[3]) Cod. Mscr. „ἐνδέχεται.“ Ed. Oxoniensis: „ἐνδέχηται.“ R.

[4]) Edd. Oxon. et Ruaei in textu: „ἀποτακτικῶς,“ ed. vero R. in notis: „Lego cum Bentlejo: „ἀποτατικῶς.“ — Anglus: „Lege: ἐπιτακτικῶς.“

[5]) Ita Cod. Mscr. habet, male vero ed. Oxoniensis: „ἀποτακτικῷ.“ R. — Anglus: „Lege: ἐπιτακτικῷ λόγῳ.“ — Cfr. pag. huj. not. 4.

[6]) Anglus: „Lege: τά, quod liquet ex sequentibus: εἰρημένων πάλαι.“

[7]) Ed. Oxoniensis: „κεκρατηκότα εἰρημένων πάλαι· μήποτε δή.“ R.

βέλτιον ἢ διαφόρους νομίζεσθαι τὰς προσευχὰς κοινά τινα ἐχούσας μέρη. Ζητήσαντες δὲ καὶ παρὰ τῷ Μάρκῳ, μήποτε λανθάνῃ [1]) ἡμᾶς ἡ τοιαύτη ἰσοδυναμοῦσα ἀναγεγραμμένη, οὐδ' ἴχνος ἐγκείμενον προσευχῆς εὕρομεν.

19. Ἐπεὶ δὲ, ὡς ἐν τοῖς ἀνωτέροις εἰρήκαμεν, πρῶτον δεῖ καταστῆναί πως καὶ διατεθῆναι τὸν προσευχόμενον, εἶθ' οὕτως εὔξασθαι, ἴδωμεν πρὸ τῆς ἐγκειμένης προσευχῆς παρὰ τῷ Ματθαίῳ τοὺς περὶ αὐτῆς ὑπὸ τοῦ σωτῆρος ἡμῶν ἀπηγγελμένους [2]) λόγους, οἵτινες οὕτως ἔχουσιν· „ὅταν [3]) προσεύχησθε, [4]) οὐκ ἔσεσθε ὥσπερ οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως φανῶσι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων σε ἐν τῷ κρυπτῷ, ἀποδώσει [5]) σοι. Προσευχόμενοι δὲ μὴ βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς. Οἶδε γὰρ ὁ πατὴρ ὑμῶν, ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.

---

1) Sic habet Cod. Mscr. Editio autem Oxoniensis: „λανθάνοι.“ R.

2) Post: „ἀπηγγελμένους,“ addo: „λόγους,“ ut in ed. Oxoniensi, licet haec vox in Cod. Mscr. desideretur. R. — Item fere Anglus: „Minus attentus hic librarius omisit λόγους, quod, cum ad sententiam sit necessarium, nos adjicere non dubitavimus.“

3) Cfr. Matth. VI, 5—8.

4) Ed. Oxoniensis: „προσεύχεσθε.“

5) Post: „ἀποδώσει σοι,“ ed. Oxon. addit intra uncos: „ἐν τῷ φανερῷ,“ quod abest ab Origenis Cod. Mscr. R. — Item fere Anglus: „His addidit ed. Oxoniensis: ἐν τῷ φανερῷ, sed male, ut opinor, cum ea non agnoverit Origenes, uti constat ex Comm. in Joann. Tom. XI. num. 4., ubi etiam, iis omissis, legit tantum: ἀποδώσει σοι.“

Οὕτως οὖν προσεύχεσθε ὑμεῖς.“ Πολλαχοῦ τοίνυν φαίνεται ὁ σωτὴρ ἡμῶν ἐνιστάμενος ὡς πρὸς ὀλέθριον πάθος τὴν φιλοδοξίαν· ὅπερ καὶ ἐνθάδε πεποίηκεν, ἀποτρέπων κατὰ τὸν καιρὸν τῆς εὐχῆς ὑποκριτῶν ἔργον ἐπιτελεῖν. Ὑποκριτῶν γὰρ ἔργον ἐστὶ, τὸ τοῖς ἀνθρώποις ἐναβρύνεσθαι ἐπ' εὐσεβείᾳ θέλειν, ἢ τῷ [1]) κοινωνεῖν. Δέον δὲ μεμνημένους τοῦ· „πῶς [2]) δύνασθε πιστεῦσαι ὑμεῖς, δόξαν παρὰ ἀνθρώπων λαβόντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε;“ πάσης τῆς παρὰ ἀνθρώποις δόξης, κἂν ἐπὶ τῷ καλῷ γίνεσθαι νομίζηται, [3]) καταφρονεῖν, καὶ ζητεῖν τὴν κυρίαν δόξαν καὶ ἀληθῆ τὴν ἀπὸ τοῦ μόνου τὸν τῆς δόξης ἄξιον πρεπόντως ἑαυτῷ ὑπὲρ τὴν ἀξίαν τοῦ δοξαζομένου δοξάζοντος. Καὶ αὐτὸ οὖν τὸ νομισθὲν ἂν καλὸν εἶναι καὶ ἐπαινετὸν, μολύνεται νομιζόμενον γίνεσθαι, ὅτε, ὅπως δοξασθῶμεν ὑπὸ τῶν ἀνθρώπων, ἢ ὅπως φανῶμεν τοῖς ἀνθρώποις, ποιοῦμεν αὐτό. Διόπερ οὐδεμία ἐπὶ τούτῳ ἀπὸ θεοῦ ἀμοιβὴ ἡμῖν ἕπεται. Ἀψευδὴς γὰρ πᾶς ὁ τοῦ Ἰησοῦ λόγος, καὶ, εἰ δεῖ βιαζόμενον εἰπεῖν, ἀψευδέστερος γίνεται, ἐπὰν μετὰ τοῦ συνήθους αὐτῷ [4]) ὅρκου λέγηται. Φησὶ δὲ περὶ τῶν δι' ἀνθρωπίνην δόξαν εὖ τὸν πέλας δοκούντων ποιεῖν, ἢ [5]) ἐν ταῖς συναγωγαῖς καὶ ταῖς γωνίαις τῶν πλατειῶν

---

[1]) Anglus: „Lege: *θεῷ*, vel: *τῷ θεῷ κοινωνεῖν*. Nam deest plane: *θεῷ*.“ — Cui quidem Ruaeus haec respondet: „Nihil deest, nam *τὸ κοινωνεῖν* est liberalitas.“

[2]) Cfr. ev. Joann. V, 44.

[3]) Cod. Mscr. „*νομίζηται*.“ Ed. Oxoniensis: „*νομίζεται*.“ R.

[4]) Edd. Oxon. et Ruaei in textu: „*αὐτοῦ*,“ ed. vero R. in notis: „Lego cum Bentlejo: *αὐτῷ*.“ — Item fere Anglus.

[5]) Anglus: „Loco huic non convenit disjunctivum *ἤ*, ubi de conjunctis in eadem Christi sententia loquitur Origenes. Lege igitur: *καὶ ἐν ταῖς*, vel, quod aptius est: *καὶ τῶν ἐν ταῖς*.“

προσευχομένων, ὅπως φανῶσι τοῖς ἀνθρώποις, τὸ αὐτό· „ἀμὴν [1]) λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν.“ Ὥσπερ γὰρ ἀπέσχεν [2]) ὁ κατὰ Λουκᾶν [3]) πλούσιος τὰ ἀγαθὰ ἐν τῇ ἑαυτοῦ ἀνθρωπίνῃ ζωῇ, διὰ [4]) τὸ ἀπεσχηκέναι ταῦτα, οὐκ ἔστι χωρῶν τυχεῖν [5]) αὐτῶν μετὰ τὸν ἐνεστηκότα βίον· οὕτως ὁ ἀπέχων ἑαυτοῦ τὸν μισθὸν, εἴτ' [6]) ἐν δόσει τινὶ, ἢ ἐν εὐχαῖς, ἅτε μὴ σπείρας [7]) εἰς τὸ πνεῦμα, ἀλλὰ εἰς τὴν σάρκα, θερίσει μὲν τὴν φθορὰν, οὐ θερίσει δὲ τὴν αἰώνιον ζωήν. Εἰς τὴν σάρκα δὲ σπείρει ὁ ἐν ταῖς συναγωγαῖς καὶ ταῖς ῥύμαις, ὅπως δοξασθῇ ὑπὸ τῶν ἀνθρώπων, ποιῶν ἐλεημοσύνην μετὰ σαλπισμοῦ του [8]) ἔμπροσθεν ἑαυτοῦ, ἢ [9]) ὁ φιλῶν ἐν ταῖς συναγωγαῖς καὶ ταῖς γωνίαις τῶν πλατειῶν ἑστὼς προσεύχεσθαι, ὅπως φανεὶς τοῖς ἀνθρώποις, εὐσεβής τις καὶ ὅσιος εἶναι παρὰ τοῖς ἑωρακόσι νομισθῇ. Ἀλλὰ καὶ πᾶς ὁ τὴν πλατεῖαν [10]) καὶ εὐρύχωρον ὁδεύων ὁδὸν,

---

[1]) Cfr. Matth. V, 5.

[2]) Anglus: „Lege ἀποσχών. Nam id plane poscit sententia, atque ita mox sequitur: οὕτως ὁ ἀπέχων.“ — Cui quidem Ruaeus haec respondet: „Magis placet emendatio Bentleji, qui retinet ἀπέσχεν, sed paulo post, cfr. pag. huj. not. 4., legit: διά τε τὸ ἀπεσχηκέναι ταῦτα.“

[3]) Cfr. Luc. XVI, 25.

[4]) Bentlejus legit: „διά τε τό.“ R. — Cfr. pag. huj. not. 2.

[5]) Cod. Mscr. „τυχεῖν.“ Ed. Oxoniensis: „τυχόν.“ R.

[6]) Edd. Oxon. et R. in textu: „εἴτε δώσει τινί,“ ed. vero R. in notis: „Lego cum Bentlejo: εἴτ' ἐν δόσει τινί.“ — Anglus, qui non male legisse videtur: „εἴ τι δώσει τινι,“ haec habet: „Legendum opinor: εἴτ' ἐν δόσει τινί, quod melius convenit cum sequentibus: ἢ ἐν εὐχαῖς.“

[7]) Cfr. Gal. VI, 8.

[8]) Bentlejus a τοῦ tollit accentu m, ut του sit pr τινός. R.

[9]) Anglus: „Lege: καὶ ὁ φιλῶν.“

[10]) Cfr. Matth. VII, 13.

τὴν ἀπάγουσαν ἐπὶ τὴν ἀπώλειαν, οὐδὲν ὀρθὸν καὶ εὐθὲς ἔχουσαν, ἀλλὰ πᾶσαν σκολιὰν τυγχάνουσαν καὶ γεγωνιωμένην· — κέκλασται γὰρ ἐπὶ πλεῖστον ἡ εὐθεῖα· — ἐν[1]) αὐτῇ ἕστηκεν οὐ καλῶς, ἐν ταῖς γωνίαις τῶν πλατειῶν προσευχόμενος, διὰ τῆς φιληδονίας οὐχὶ ἐν μιᾷ, ἀλλ' ἐν πλείοσι γινόμενος πλατείαις· ἐν αἷς οἱ ὡς[2]) ἄνθρωποι ἀποθνήσκοντες, διὰ τὸ τῆς θεότητος ἀποπεπτωκέναι, τυγχάνουσι δοξάζοντες καὶ μακαρίζοντες τοὺς ἐν ταῖς πλατείαις εὐσεβεῖν[3]) αὐτοῖς νενομισμένους. Πολλοὶ δὲ ἀεὶ[4]) οἱ φαινόμενοι ἐν τῷ προσεύχεσθαι „φιλήδονοι[5]) μᾶλλον ἢ φιλόθεοι," ἐν μέσοις τοῖς συμποσίοις καὶ παρὰ ταῖς μέθαις ἐμπαροινοῦντες τῇ προσευχῇ, ἀληθῶς ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες καὶ προσευχόμενοι· πᾶς γὰρ ὁ κατὰ τὴν ἡδονὴν βιοὺς, τὸ εὐρύχωρον ἀγαπήσας, ἐκπέπτωκε τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ Ἰησοῦ Χριστοῦ, οὐδὲ τὴν τυχοῦσαν ἐχούσης κάμπην, καὶ οὐδὲ ὅλως γεγωνιωμένης.

20. Εἰ δέ ἐστί τις διαφορὰ ἐκκλησίας καὶ συναγωγῆς· τῆς μὲν κυρίως ἐκκλησίας οὐκ ἐχούσης[6]) σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλὰ ἁγίας καὶ ἀμώμου

---

[1]) Legit Bentlejus: „ἐν αὐτῇ ἕστηκεν, οὐκ ἄλλως ἐν ταῖς γωνίαις τῶν πλατειῶν προσευχόμενος, ἢ διὰ τῆς φιλοδοξίας." R. — Anglus: „Lege: ἐν ᾗ ἕστηκεν οὐ καλῶς ὁ ἐν ταῖς γωνίαις, quod locus ipse demonstrat." — Cui quidem Ruaeus haec respondet: „Magis nativa est emendatio Bentleji, qui" etc.

[2]) Cfr. Psalm. LXXXII, 7. (LXXXI.)

[3]) Edd. Oxon. et R. in textu: „ἀσεβεῖν," ed. vero R. in notis: „Lego cum Bentlejo: εὐσεβεῖν." — Anglus: „Legendum plane est e contrario: εὐσεβεῖν. Ita supra: ὅπως φανεὶς τοῖς ἀνθρώποις, εὐσεβής τις καὶ ὅσιος εἶναι παρὰ τοῖς ἑωρακόσι νομισθῇ."

[4]) Lego cum Bentlejo: „εἰσίν." R.

[5]) II Tim. III, 4. [6]) Cfr. Ephes. V, 27.

τυγχανούσης· εἰς ἣν οὔτε ὁ ἐκ πόρνης εἰσέρχεται,[1]) οὔτε ὁ θλαδίας,[2]) ἢ ἀποκεκομμένος, ἀλλ' οὐδὲ Αἰγύπτιος[3]) ἢ Ἰδουμαῖος, ἐὰν[4]) μὴ υἱῶν γεννηθέντων αὐτοῖς, διὰ τὴν τρίτην γενεὰν μόλις δυνηθῶσιν ἐφαρμόσαι τῇ ἐκκλησίᾳ· οὐδὲ ὁ Μωαβίτης[5]) καὶ Ἀμανίτης, ἐὰν μὴ δεκάτη γενεὰ πληρωθῇ, καὶ ὁ αἰὼν τελεσθῇ· τῆς δὲ συναγωγῆς ὑπὸ[6]) ἑκατοντάρχου οἰκοδομουμένης, ἐν τοῖς πρὸ[7]) τῆς Ἰησοῦ ἐπιδημίας χρόνοις τοῦτο

---

[1]) Cod. Mscr. „εἰσέρχεται." Ed. Oxoniensis: „εἰςέρχηται." R. — Cfr. Deut. XXIII, 2.

[2]) Cfr. Deut. XXIII, 1. [3]) Cfr. Deut. XXIII, 7.

[4]) Legit Bentlejus: „ἐὰν δὲ υἱοὶ γεννηθῶσιν αὐτοῖς," ut LXX. interpretes. R. — Cfr. Deut. XXIII, 8.

[5]) Cfr. Deut. XXIII, 3.

[6]) Sic habet Cod. Mscr., in quo nempe scriptum est: „ὑπὸ ρ́χου," per abbreviationem. Nam ρ́ centum valet. Male vero pro: „ρ́χου," ed. Oxon. in textu habet: „Χριστοῦ." R. — Anglus: „Nomen: ἑκατοντάρχου, abbreviate scribi solitum, in nostro demum Codice peperit Χριστοῦ. Putabat, opinor, stolidus librarius Christum, τέκτονος υἱόν, synagogis aliquando aedificandis operam dedisse. Atqui historia sacra nos scribere jussit: ἑκατοντάρχου. Editor vero Oxon. librarii fide nixus absurdum illud: Χριστοῦ, retinuit; quod tamen ipse, tanquam unicum erratum, in libri tandem calce corrigendum censuit his verbis: *legas pro* χροῦ, ρ́χου, i. e. ἑκατοντάρχου, *nam* ρ́ 100 *valet.* Verum is, qui Codicis fide Χριστοῦ retinuit, in mox seqq. a Cod. recedens, mutando, addendo, transponendo, totius loci sententiam pervertit: sic enim edidit: τῆς δὲ συναγωγῆς ὑπὸ Χριστοῦ οἰκοδομουμένης, ἐν τοῖς πρὸς τῆς Ἰησοῦ ἐπιδημίας χρόνοις (περὶ ἐθνικοῦ) τοῦτο ποιοῦντος, μεμαρτύρηται πίστιν ἔχειν, ὁπόσην ὅτε οὐδέπω οὐδὲ ἐν τῷ Ἰσραὴλ κτλ. Haec autem tam incondita editio Basil. post novam illam, quam praefert, collationem totidem verbis repetivit." — Cfr. pag. huj. not. 7.

[7]) Sic recte habet Cod. Mscr., ed. vero Oxoniensis:

ποιοῦντος, ὅτε οὐδέπω μεμαρτύρηται πίστιν ἔχειν, ὁπόσην οὐδὲ [1]) ἐν τῷ Ἰσραὴλ εὗρεν ὁ υἱὸς τοῦ θεοῦ· ὁ φιλῶν δὴ [2]) προσεύχεσθαι ἐν ταῖς συναγωγαῖς, οὐ μακράν ἐστι τῶν γωνιῶν τῶν πλατειῶν. Ἀλλ' οὐχ ὁ ἅγιος τοιοῦτος· οὐ φιλεῖ γὰρ προσεύχεσθαι, ἀλλὰ ἀγαπᾷ· καὶ οὐκ ἐν συναγωγαῖς, ἀλλ' ἐν ἐκκλησίαις· καὶ οὐκ ἐν γωνίαις πλατειῶν, ἀλλ' ἐν τῇ εὐθύτητι τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ· ἀλλὰ καὶ οὐχ ἵνα φανῇ τοῖς ἀνθρώποις, ἀλλ' ἵν' ὀφθῇ ἐνώπιον κυρίου τοῦ θεοῦ. Ἄῤῥην γάρ ἐστι τὸν δεκτὸν [3]) ἐνιαυτὸν κυρίου νοῶν, καὶ τὴν ἐντολὴν τηρῶν τὴν λέγουσαν· „τρὶς [4]) τοῦ ἐνιαυτοῦ ὀφθήσεται [5]) πᾶν ἀρσενικὸν ἐνώπιον κυρίου τοῦ θεοῦ.“ Ἐπιμελῶς δὲ ἀκουστέον τοῦ· „φανῶσιν·“ [6]) ἐπεὶ οὐδὲν φαινόμενον καλόν ἐστιν, οἱονεὶ δοκήσει ὂν καὶ οὐκ ἀληθῶς, καὶ τὴν φαντασίαν πλανῶν, ἀλλ' οὐκ ἀκριβῶς καὶ ἀληθῶς ἐκτυποῦν. Ὥσπερ δὲ οἱ ἐν τοῖς θεάτροις δραμάτων τινῶν ὑποκριταὶ, οὐχ ὅπερ λέγουσίν εἰσιν, οὐδ' ὅπερ βλέπονται καθ' ὃ περίκεινται πρόσωπον, τοῦτο τυγχάνουσιν· οὕτως καὶ πάντες οἱ ἐπιμορφάζοντες [7]) τῷ δοκεῖν τὴν τοῦ καλοῦ φαντασίαν, οὐ δίκαιοι,

---

„πρὸς τῆς Ἰησοῦ ἐπιδημίας χρόνοις (περὶ ἐθνικοῦ) τοῦτο ποιοῦντος, μεμαρτύρηται πίστιν ἔχειν, ὁπόσην ὅτε οὐδέπω οὐδὲ ἐν τῷ Ἰσραήλ.“ R. — Cfr. pag. 165. not. 6.

1) Cfr. Matth. VIII, 10.

2) Edd. Oxon. et R. in textu: „δέ,“ ed. vero R. in notis: „Dele: δέ, vel lege: δή.“ — Anglus: „Lege: δή.“

3) Cfr. Luc. IV, 19. coll. Jesai. LXI, 2.

4) Cfr. Deut. XVI, 16.

5) Cod. Mscr. „ὀφθήσεται.“ Ed. Oxoniensis: „ὀφθήσηται.“ R. — Anglus: „Cod. Mscr. ὀφθήσηται.“ — Cui tamen Ruaeus haec respondet: „Walkerus legit in Mscr. Codice: ὀφθήσεται.“

6) Cfr. Matth. VI, 5.

7) Sic recte Cod. Mscr., male vero ed. Oxoniensis: „ἐπιμορφώζοντες.“ R.

ἀλλ' ὑποκριταί εἰσι δικαιοσύνης, καὶ αὐτοὶ ἐν ἰδίῳ θεάτρῳ ὑποκρινόμενοι, ταῖς συναγωγαῖς καὶ ταῖς γωνίαις τῶν πλατειῶν. Ὁ δὲ μὴ ὑποκριτὴς, ἀλλὰ πᾶν τὸ ἀλλότριον ἀποθέμενος, ἐν τῷ παντὸς τοῦ προειρημένου θεάτρου[1]) καθ' ὑπερβολὴν μείζονι, ἑαυτῷ[2]) ἀρέσκειν εὐτρεπίζων, εἰσέρχεται[3]) εἰς τὸ ἑαυτοῦ ταμεῖον, ἐπὶ τοῦ ἐναποτεθησαυρισμένου πλούτου, τὸν τῆς σοφίας[4]) καὶ γνώσεως θησαυρὸν ἑαυτῷ ἀποκλείσας, καὶ μηδαμῶς ἔξω νεύων, μηδὲ περὶ τὰ ἔξω κεχηνὼς, πᾶσάν τε τὴν θύραν τῶν αἰσθητηρίων ἀποκλείσας, ἵνα μὴ ἕλκηται ὑπὸ τῶν αἰσθήσεων, μηδὲ ἐκείνων ἡ φαντασία τῷ νῷ αὐτοῦ ἐπεισκρίνηται, προσεύχεται[5]) τῷ τὸ τοιοῦτον κρυπτὸν μὴ φεύγοντι, μηδὲ ἐγκαταλείποντι πατρὶ, ἀλλ' ἐν αὐτῷ κατοικοῦντι, συμπαρόντος αὐτῷ καὶ τοῦ μονογενοῦς. „Ἐγὼ[6]) γὰρ, φησὶ, καὶ ὁ πατὴρ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα.“ Δῆλον δὲ, ὅτι[7]) τῷ δικαίῳ, ἐὰν δὴ οὕτως εὐχώμεθα, οὐ μόνον θεῷ, ἀλλὰ καὶ πατρὶ ἐντευξόμεθα ὡς υἱῶν μὴ ἀπολειπομένῳ, ἀλλὰ παρόντι ἡμῶν τῷ κρυπτῷ, καὶ

---

[1]) Anglus: „Habet quidem Cod. Mscr. *θεάτρου*, sed illud ου ab alia manu superscribitur, deleto, ut opinor, ῳ, quasi loco non conveniret, cum tamen aptius certe legatur: *θεάτρῳ*.“

[2]) Anglus: „Lege: *ἑαυτὸν ἀρέσκειν εὐτρεπίζων*. Ita num. 31. legitur: *ὀλίγον ὑποστάντα, καὶ ἑαυτὸν εὐτρεπίσαντα*.“ — Quibus quidem Angli verbis Ruaeus haec addit: „Placet haec emendatio. Itaque loco: *sibi ipsi placere studet*, verte: *se ad placendum parat*.“

[3]) Anglus: „Cod. Mscr. *εἰσέρχηται*.“

[4]) Cfr. Coloss. II, 3.

[5]) Cod. Mscr. „*προσεύχεται*.“ Ed. Oxoniensis: „*προσεύχηται*.“ R. — Anglus: „Cod. Mscr. *προσεύχηται*.“

[6]) Cfr. ev. Joann. XIV, 23.

[7]) Ed. Oxoniensis: „*ὅτε τῷ δικαίῳ· ἐὰν δὲ οὕτως*.“ R.

ἐφορῶντι αὐτὸ, καὶ πλείονα τὰ ἐν τῷ ταμείῳ ποιοῦντι, ἐὰν αὐτοῦ τὴν θύραν ἀποκλείσωμεν.[1])

21. Ἀλλὰ προσευχόμενοι μὴ βαττολογήσωμεν, ἀλλὰ θεολογήσωμεν. Βαττολογοῦμεν δὲ, ὅτε μὴ μωμοσκοποῦντες ἑαυτοὺς, ἢ τοὺς ἀναπεμπομένους τῆς εὐχῆς λόγους, λέγομεν[2]) τὰ διεφθαρμένα ἔργα, ἢ λόγους, ἢ νοήματα ταπεινὰ τυγχάνοντα, καὶ ἐπίληπτα, τῆς ἀφθαρσίας ἀλλότρια τοῦ κυρίου. Ὁ μέντοι βαττολογῶν ἐν τῷ εὔχεσθαι, ἤδη καὶ ἐν[3]) τῷ χείρονι τῶν προειρημένων ἡμῖν συναγωγικῶν[4]) ἐστι καταστάσει[5]) τε χαλεπωτέρῳ τῶν ἐν ταῖς πλατείαις[6]) γωνιῶν ὁδῷ,[7]) οὐδὲ ἴχνος σώζων κἂν ὑποκρίσεως ἀγαθοῦ.[8]) Βαττολογοῦσι γὰρ κατὰ τὴν λέξιν τοῦ εὐαγγελίου μόνοι[9]) οἱ ἐθνικοὶ, οὐδὲ φαντασίαν μεγάλων ἔχοντες,[10]) ἢ ἐπουρανίων αἰτημάτων· πᾶσαν εὐχὴν[11]) περὶ τῶν σωματικῶν καὶ

---

[1]) Cfr. Matth. VI, 6.

[2]) Ed. Oxoniensis: „λέγωμεν."

[3]) Lego: „ἐν τῇ χείρονι," quod refero ad sequentem vocem: „καταστάσει." R. — Non male.

[4]) Cod. Mscr. recte: „συναγωγικῶν ἐστι," ed. autem Oxoniensis: „συναγωγικός ἐστι." R.

[5]) Lego cum Bentlejo: „καταστάσει ἢ χαλεπωτέρᾳ," vel: „καταστάσει καὶ χαλεπωτέρᾳ τῶν ἐν ταῖς πλατείαις γωνιῶν ὁδῷ." R. — Equidem legerim: „ἐν τῇ χείρονι τῶν — συναγωγικῶν ἐστι καταστάσει τε καὶ χαλεπωτέρᾳ," vel: „καταστάσει, χαλεπωτέρᾳ τε τῶν" κτλ.

[6]) Anglus: „Loco hujus stribliginis legendum mihi videtur: πλατειῶν γωνίαις ἑστώτων, nam respicit plane ad Christi verba Matth. VI, 5., de quibus egerat num. 19. et 20."

[7]) Ed. Oxon. contra fidem Cod. Mscr. habet: „ὅδε." R.

[8]) Cod. Mscr. „ἀγαθοῦ," ed. Oxon. „ἀγαθῆς." R.

[9]) Ed. R. in textu: „μόνην," in notis: „Cod. Mscr. μόνην. Editio Oxoniensis: μόνοι, et ita legendum." — Anglus: „Lege: μόνον."

[10]) Anglus: „Perperam scripsit hic librarius: ἐχόντων."

[11]) Edd. Oxon. et R. in textu: „εὐχὴν τῶν σωματι-

τῶν ἐκτὸς ἀναπέμποντες. Ἐθνικῷ οὖν βαττολογοῦντι ὁμοιοῦται ὁ τὰ κάτω ἀπὸ τοῦ ἐν οὐρανοῖς καὶ ὑπὲρ τὰ ὕψη τῶν οὐρανῶν κατοικοῦντος κυρίου [1]) αἰτῶν. Καὶ ἔοικέ γε ὁ πολυλογῶν βαττολογεῖν, καὶ ὁ βαττολογῶν πολυλογεῖν. Οὐδὲν γὰρ ἓν τῆς ὕλης καὶ τῶν σωμάτων, ἀλλ' ἕκαστον τῶν νομιζομένων ἓν ἔσχισται καὶ διακέκοπται, καὶ διῄρηται εἰς πλείονα τὴν ἕνωσιν ἀπολωλεκότα· [2]) ἓν γὰρ τὸ ἀγαθὸν, πολλὰ δὲ τὰ αἰσχρά· καὶ ἓν ἡ ἀλήθεια, πολλὰ δὲ τὰ ψευδῆ· καὶ ἓν ἡ ἀληθὴς δικαιοσύνη, πολλαὶ δὲ ἕξεις ταύτην ὑποκρίνονται· [3]) καὶ ἓν ἡ τοῦ θεοῦ σοφία, πολλαὶ δὲ αἱ καταργούμεναι [4]) τοῦ αἰῶνος τούτου, καὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου· καὶ εἷς μὲν ὁ τοῦ θεοῦ λόγος, πολλοὶ δὲ οἱ ἀλλότριοι τοῦ θεοῦ. Διὰ τοῦτο οὐδεὶς ἐκφεύξεται [5]) ἁμαρτίαν ἐκ πολυλογίας, καὶ οὐδεὶς δοκῶν [6]) ἐκ πολυλογίας εἰσακουσθήσεσθαι, εἰσακούεσθαι δύναται. Διόπερ οὐχ ὁμοιωτέον [7]) ἐστὶ τὰς εὐχὰς ἡμῶν τοῖς ἐθνικοῖς βαττολογοῦσιν, ἢ πολυλογοῦσιν, ἢ ὅ, τι δήποτε πράττουσι κατὰ τὴν ὁμοίωσιν [8]) τοῦ ὄφεως· οἶδε γὰρ ὁ [9]) τῶν ἁγίων θεὸς, πατὴρ ὢν, ὧν χρείαν ἔχουσιν οἱ υἱοὶ αὐ-

---

κῶν," ed. vero R. in notis: „Lego cum Bentlejo: εὐχὴν περὶ τῶν σωματικῶν." — Item Anglus: „Requiri videtur: περί, ut sit: εὐχὴν περὶ τῶν σωματικῶν. Sic num. 14. εὐχὴ περὶ τοῦ ἐκείνου τυχεῖν ἀναπεμπομένη. Et: προσευχὴ περὶ μειζόνων — ἀναπεμπομένη."

[1]) Bentlejus legit: „θεοῦ." R.

[2]) Edd. Oxon. et R. in textu: „ἀπολελωκότα," ed. vero R. in notis: „Lege ἀπολωλεκότα."

[3]) Bentlejus mallet: „ὑποκρινόμεναι." R. — Anglus: „Lege: ὑποκρίνουσαι, sicut mox sequitur: καταργούμεναι."

[4]) Cfr. I Cor. II, 6. [5]) Cfr. Prov. X, 19.

[6]) Cfr. Matth. VI, 7. [7]) Cfr. Matth. VI, 8.

[8]) Cfr. Psalm. LVIII, 4. (LVII.)

[9]) Bentlejo legendum videtur: „ὁ τῶν ὅλων θεός." R.

τοῦ, ἐπεὶ ἄξια τυγχάνει τῆς πατρικῆς γνώσεως. Εἰ δέ τις ἀγνοεῖ[1]) τὸν θεὸν, καὶ τὰ τοῦ θεοῦ ἀγνοεῖ, ἀγνοεῖ δὲ τὰ ὧν χρείαν ἔχει. Διημαρτημένα γάρ ἐστι τὰ ὧν χρείαν ἔχειν νομίζει. Ὁ δὲ τεθεωρηκὼς ὧν ἐστιν ἐνδεὴς κρειττόνων καὶ θειοτέρων, γινωσκομένων ὑπὸ θεοῦ τεύξεται ὧν τεθεώρηκε, καὶ ἐγνωσμένων τῷ πατρὶ καὶ πρὸ τῆς αἰτήσεως. Τούτων δὴ[2]) εἰς τὰ πρὸ τῆς ἐν τῷ κατὰ Ματθαῖον εὐχῆς εἰρημένων, ἤδη θεασώμεθα καὶ τὰ δηλούμενα ἀπὸ τῆς εὐχῆς.

22. „Πάτερ[3]) ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.“ Ἄξιον ἐπιμελέστερον ἐπιτηρῆσαι τὴν λεγομένην παλαιὰν διαθήκην, εἰ ἔστι που εὑρεῖν ἐν αὐτῇ εὐχήν τινος λέγοντος τὸν θεὸν πατέρα· ἐπὶ γὰρ τοῦ παρόντος κατὰ δύναμιν ἐξετάσαντες, οὐχ εὕρομεν. Οὐ τοῦτο δέ φαμεν, ὅτι ὁ θεὸς πατὴρ οὐκ εἴρηται, ἢ οἱ πεπιστευκέναι νομιζόμενοι θεῷ, υἱοὶ οὐκ ὠνομάσθησαν θεοῦ. Ἀλλ' ὅτι[4]) ἐν προσευχῇ τὴν ἀπὸ[5]) τοῦ σωτῆρος κατηγγελμένην παῤῥησίαν περὶ τοῦ ὀνομάσαι τὸν θεὸν πατέρα οὐχ εὕρομέν πω. Ὅτι δὲ εἴρηται πατὴρ ὁ θεὸς, καὶ υἱοὶ οἱ τῷ[6]) λόγῳ τοῦ θεοῦ προσεληλυθότες, πολλαχοῦ ἐστιν ἰδεῖν, ὥσπερ καὶ ἐν Δευτερονομίῳ· „θεὸν[7]) τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε.“ Καὶ πάλιν· „οὐκ[8]) αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔκτισέ σε;“

---

[1]) Anglus: „Rectius fortasse legatur: ἀγνοεῖ τὸν θεὸν, καὶ τὰ τοῦ θεοῦ, ἀγνοεῖ δὴ τὰ ὧν χρείαν ἔχει.“

[2]) Anglus: „Lege: δέ.“ [3]) Matth. VI, 9.

[4]) Cod. Mscr. „ὅτι.“ Ed. Oxoniensis: „ὅτε.“ R.

[5]) Anglus: „Lege: ὑπό, sicut supra: τοὺς ὑπὸ τοῦ σωτῆρος ἀπηγγελμένους λόγους. Saepe vero hae praepositiones scribarum incuria, non (quod in Idiotism. vult Viger.) ab ipsis auctoribus inter se permutantur.“

[6]) Cod. Mscr. „τῷ λόγῳ.“ Editio Oxoniensis: „τοῦ λόγου.“ R.

[7]) Deut. XXXII, 18. [8]) Deut. XXXII, 6.

Καὶ πάλιν· „υἱοὶ,[1]) οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.“ Καὶ ἐν τῷ Ἡσαΐᾳ· „υἱοὺς[2]) ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.“ Καὶ ἐν τῷ Μαλαχίᾳ· „υἱὸς[3]) δοξάσει[4]) πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ. Καὶ εἰ πατήρ εἰμι ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου; Καὶ εἰ κύριός εἰμι ἐγὼ, ποῦ ἐστιν ὁ φόβος μου;“ Καὶ εἰ λέγεται[5]) τοίνυν πατὴρ ὁ θεὸς, καὶ υἱοὶ οἱ τῷ λόγῳ τῆς εἰς αὐτὸν πίστεως γεγεννημένοι· τὸ[6]) βέβαιόν γε καὶ τὸ ἀμετάπτωτον τῆς υἱότητος οὐκ ἔστιν ἰδεῖν παρὰ τοῖς ἀρχαίοις. Αὐτὰ γοῦν ἃ παρεθέμεθα, ὑπαιτίους ἐμφαίνει εἶναι τοὺς λεγομένους υἱούς· ἐπεὶ κατὰ τὸν ἀπόστολον, ἕως „ὁ[7]) κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλ' ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός·“ τὸ δὲ πλήρωμα τοῦ χρόνου ἐν τῇ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιδημίᾳ ἔνεστιν,[8]) ὅτε τὴν υἱοθεσίαν ἀπολαμβάνουσιν οἱ βουλόμενοι, ὡς ὁ Παῦλος διδάσκει διὰ τούτων· „οὐ[9]) γὰρ ἐλάβετε πνεῦμα δουλείας εἰς φόβον, ἀλλὰ ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ, ὁ πατήρ.“ Καὶ ἐν τῷ κατὰ Ἰωάννην· „ὅσοι[10]) δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ

---

[1]) Deut. XXXII, 20. [2]) Jesai. I, 2.

[3]) Malach. I, 6. [4]) Anglus: „Lege: δοξάσει.“

[5]) Cod. Mscr. „λέγεται.“ Ed. Oxoniensis: „λέγητε.“ R.

[6]) Edd. Oxon. et R. in textu: „τὸ βέβαιόν τε,“ ed. vero R. in notis: „Lego cum Bentlejo: τὸ βέβαιόν γε.“ — Item Anglus.

[7]) Cfr. Galat. IV, 1. 2.

[8]) Anglus: „Legendum opinor: ἐνέστη, id est: ἦλθε, nam respicit plane Orig. ad Apostoli verba Gal. IV, 4. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου.“

[9]) Cfr. Rom. VIII, 15.

[10]) Ev. Joann. I, 12.

ὄνομα αὐτοῦ." Καὶ διὰ τοῦτο τὸ τῆς υἱοθεσίας πνεῦμα ἐν τῇ καθολικῇ τοῦ Ἰωάννου ἐπιστολῇ περὶ τῶν ἐκ θεοῦ γεγεννημένων μεμαθήκαμεν, ὅτι „πᾶς[1]) ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται. Εἰ μέντοι νοήσαιμεν, τί ἐστι τό· „ὅταν[2]) προσεύχησθε, λέγετε· πάτερ·" ὅπερ παρὰ τῷ Λουκᾷ γέγραπται, ὀκνήσομεν[3]) μὴ γενόμενοι υἱοὶ γνήσιοι, προενέγκασθαι ταύτην τὴν φωνὴν αὐτῷ, μήποτε πρὸς τοῖς ἄλλοις ἡμῶν ἁμαρτήμασι, καὶ ἀσεβείας ἐγκλήματι[4]) ἔνοχοι γενώμεθα. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστι. Φησὶν ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους ὁ Παῦλος· „οὐδεὶς[5]) δύναται εἰπεῖν· κύριος[6]) Ἰησοῦς· εἰ μὴ ἐν πνεύματι ἁγίῳ· καὶ οὐδεὶς ἐν πνεύματι θεοῦ[7]) λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν·"[8]) τὸ αὐτὸ ὀνομάζων ἅγιον πνεῦμα, καὶ πνεῦμα θεοῦ. Τί δὲ τὸ εἰπεῖν ἐν πνεύματι ἁγίῳ κύριον[9]) Ἰησοῦν, οὐ πάνυ ἐστὶ σαφές, προ-

---

[1]) I Joann. III, 9. [2]) Luc. XI, 2.

[3]) Cod. Mscr. „ὀκνήσομεν." Ed. Oxoniensis: „ὠκνήσαμεν." Bentlejus legit: „ὀκνήσαιμεν." R.

[4]) Ed. Oxoniensis: „ἐγκλήματος ἔνοχοι γενώμεθα· ὅδε λέγω" κτλ. At Cod. Mscr. ut in nostro textu. R.

[5]) I Cor. XII, 3.

[6]) Anglus: „Sic etiam haec Apostoli verba legit Origenes in Joann. Tom. 28. num. 12. Tom. 32. num. 7. et 19, hic tamen paulo post habet: κύριον Ἰησοῦν, sicut in edd. exstant I Cor. XII, 3."

[7]) Edd. Oxon. et Ruaei: „ἁγίῳ." — Anglus: „Lege: θεοῦ. Nam sic scripsisse Origenem apparet ex sequentibus: τὸ αὐτὸ ὀνομάζων ἅγιον πνεῦμα, καὶ πνεῦμα θεοῦ. Quomodo enim θεοῦ, si in antecedd. utrobique scripserat: ἁγίῳ? Atque ita quidem ipse haec Apostoli verba recitat in Matth. Tom. 12. num. 11. ἐν πνεύματι θεοῦ, sicut habent edd. I Cor. XII, 3. Huc itaque res redit, librarium scil. minus attentum pro: πνεύματι θεοῦ, ex antegressis repetiisse: πνεύματι ἁγίῳ."

[8]) Bentlejus legit: „Ἰησοῦς." R.

[9]) Bentlejus legit: „κύριος Ἰησοῦς." R.

φερομένων[1]) τὴν φωνὴν ὑποκριτῶν μυρίων, καὶ ἑτεροδόξων πλειόνων, ἐνίοτε καὶ δαιμόνων, νικωμένων ὑπὸ τῆς ἐν τῷ ὀνόματι δυνάμεως. Οὐδεὶς οὖν τολμήσει[2]) τινὰ τούτων ἀποφήνασθαι ἐν πνεύματι ἁγίῳ λέγειν[3]) κύριον Ἰησοῦν. Διόπερ οὐδ' ἂν δεχθεῖεν[4]) λέγειν κύριον Ἰησοῦν, μόνων τῶν ἀπὸ διαθέσεως λεγόντων ἐν τῷ δουλεύειν τῷ λόγῳ τοῦ θεοῦ, καὶ μηδένα παρὰ τοῦτον ἐν τῷ ὅ, τιποτοῦν πράττειν ἀναγορευόντων κύριον,[5]) τό· „κύριος[6]) Ἰησοῦς." Εἰ δὲ τοιοῦτοι οἱ λέγοντες· „κύριος[7]) Ἰησοῦς·" τάχα πᾶς ὁ

---

[1]) Anglus: „Lego: προφερομένων ταύτην τὴν φωνήν. Sic autem supra: προενέγκασθαι ταύτην τὴν φωνὴν αὐτῷ."

[2]) Bentlejus legit: „τολμήσειέ τινα τούτων ἀποφήνασθαι ἐν πνεύματι ἁγίῳ λέγειν, κύριος Ἰησοῦς." R.

[3]) In Mscr. legitur: „λέγειν," non vero: „λέγων," quemadmodum in ed. Oxoniensi. R.

[4]) Cod. Mscr. „δεχθεῖεν λέγειν κύριον Ἰησοῦν." Ed. Oxon. „δεχθείη λέγων κύριον Ἰησοῦν." Bentlejus legit: „δεχθεῖεν λέγειν, κύριος Ἰησοῦς." R. — Anglus: „In Cod. abbreviate scriptum videtur: δεχθεῖεν λέγειν, quod cum nihili sit, nos cum ed. Oxon. loco ejus reponendum censuimus: δεχθείη λέγων, etsi ad scriptum propius accedere videtur: δεχθῇ ἐν τῷ λέγειν."

[5]) Forte legendum: „κυρίως," ut conjicit Bentlejus. R. — Anglus: „Deesse hic aliquid videtur ad explendam sententiam, fortasse haec: καλῶς εἰπόντων, ut sit: μόνων τῶν ἀπὸ διαθέσεως λεγόντων — κύριον, καλῶς εἰπόντων τό· κύριος Ἰησοῦς. Nam ita ferme ipse Origenes in loco huic gemino, Comm. in Joann. Tom. 32. num. 7. ὁ ἐν πνεύματι ἁγίῳ λέγων, κύριος Ἰησοῦς, καλῶς λέγει — γνησίως δουλεύοντος τῷ λόγῳ ἔργον ἐστὶ τὸ καλῶς εἰπεῖν, κύριος Ἰησοῦς. Respicit scil. ad Joann. XIII, 13. φωνεῖτέ με, ὁ διδάσκαλος καὶ ὁ κύριος· καὶ καλῶς λέγετε." — Equidem nihil mutaverim.

[6]) Cfr. I Cor. XII. 3. coll. pag. 172. not. 6.

[7]) Cfr. I Cor. XII, 3. coll. pag. huj. not. 6.

ἁμαρτάνων, διὰ τοῦ παρανομεῖν ἀναθεματίζων τὸν θεῖον λόγον, διὰ τῶν ἔργων κέκραγεν· „ἀνάθεμα[1]) Ἰησοῦς." Ὥσπερ οὖν ὁ[2]) τοιόσδε λέγει·[3]) „κύριος[4]) Ἰησοῦς·" καὶ ὁ τούτῳ ἐναντίως διακείμενος, τό· „ἀνάθεμα[5]) Ἰησοῦς·" οὕτως πᾶς[6]) ὁ ἐκ τοῦ θεοῦ γεγεννημένος, καὶ μὴ ποιῶν ἁμαρτίαν, τῷ σπέρματος μετέχειν θεοῦ πάσης ἁμαρτίας ἀποτρέποντος, δι' ὧν πράττει, λέγει·[7]) „πάτερ[8]) ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς·" αὐτοῦ[9]) τοῦ πνεύματος συμμαρτυροῦντος τῷ πνεύματι αὐτῶν, ὅτι εἰσὶ τέκνα θεοῦ, καὶ κληρονόμοι αὐτοῦ, συγκληρονόμοι τε[10]) τοῦ Χριστοῦ· ἐπεὶ συμπάσχοντες καὶ συνδοξάζεσθαι ἐλπίζουσιν εὐλόγως. Ἵνα δὲ μὴ ἐξ ἡμίσους λέγωσι τό· „πάτερ[11]) ἡμῶν·" οἱ τοιοῦτοι, μετὰ τῶν ἔργων καὶ ἡ καρδία,[12]) ἡ τῶν καλῶν ἔργων πηγὴ καὶ ἀρχὴ, πιστεύει εἰς δικαιοσύνην, οἷς συμφώνως τὸ στόμα ὁμολογεῖ εἰς σωτηρίαν. Πᾶν οὖν ἔργον αὐτοῖς, καὶ λόγος, καὶ νόημα, ὑπὸ τοῦ μονογενοῦς λόγου μεμορφωμένα κατ' αὐτὸν, μεμίμηται τὴν εἰκόνα τοῦ θεοῦ

---

1) Cfr. I Cor. XII, 3. coll. pag. 172. not. 8.

2) Anglus: „Rectius videtur: *τοιόσδε ὁ λέγων*, uti supra: *τοιοῦτοι οἱ λέγοντες*, et fortasse: *τό· κύριος Ἰησοῦς*, quia mox sequitur ex antithesi: *τό· ἀνάθεμα Ἰησοῦς*." — Cui quidem Ruaeus haec respondet: „In Cod. Mscr. legit Walkerus non: *λέγων*, sed: *λέγει*, ac proinde nihil est mutandum."

3) Cod. Mscr. recte: „*λέγει*." Ed. Oxoniensis: „*λέγων*." R. — Cfr. pag. huj. not. 2.

4) Cfr. I Cor. XII, 3. 5) Cfr. I Cor. XII, 3.

6) Cfr. I Joann. III, 9.

7) Anglus: „Lege: *λέγει τό· πάτερ κτλ.*, quemadmodum in seqq. ter legitur."

8) Matth. VI, 9. coll. Rom. VIII, 15.

9) Cfr. Rom. VIII, 16. 17.

10) Anglus: „Lege: *δέ*, ut in loco citato, Rom. VIII, 17.

11) Cfr. Matth. VI, 9. coll. Luc. XI, 2.

12) Cfr. Rom. X, 10.

τοῦ ἀοράτου, καὶ γέγονε κατ' εἰκόνα τοῦ κτίσαντος, ἀνατέλλοντος[1]) τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχοντος ἐπὶ δικαίους καὶ ἀδίκους· ὡς εἶναι ἐν αὐτοῖς „τὴν[2]) εἰκόνα τοῦ ἐπουρανίου," καὶ αὐτοῦ ὄντος εἰκόνος θεοῦ. Εἰκὼν[3]) οὖν εἰκόνος οἱ ἅγιοι τυγχάνοντες, τῆς εἰκόνος οὔσης υἱοῦ, ἀπομάττονται υἱότητα, οὐ μόνῳ τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ γινόμενοι σύμμορφοι, ἀλλὰ καὶ ὄντι[4]) ἐν τῷ σώματι. Γίνονται δὲ σύμμορφοι τῷ[5]) ἐν σώματι τῆς δόξης, μεταμορφούμενοι[6]) τῇ ἀνακαινίσει[7]) τοῦ νοός. Εἰ δ' οἱ τοιοῦτοι δι' ὅλων φασὶ τό· „πάτερ[8]) ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·" δηλονότι „ὁ[9]) ποιῶν τὴν ἁμαρτίαν," ὥς φησιν ἐν τῇ καθολικῇ ὁ Ἰωάννης, ἐκ „τοῦ διαβόλου ἐστὶν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει." Καὶ ὥσπερ σπέρμα τοῦ θεοῦ ἐν τῷ γεγεννημένῳ[10]) ἐκ τοῦ θεοῦ μένον, αἴτιον τοῦ μὴ δύνασθαι ἁμαρτάνειν γίνεται τῷ κατὰ τὸν μονογενῆ λόγον μεμορφωμένῳ· οὕτως ἐν παντὶ τῷ ποιοῦντι τὴν ἁμαρτίαν, σπέρμα τοῦ διαβόλου ἔνεστιν, ὅσον ἐνυπάρχει τῇ ψυχῇ, μὴ ἐῶν δύ-

---

[1]) Cfr. Matth. V, 45. [2]) Cfr. I Cor. XV, 49.

[3]) Anglus: „Legendum opinor: εἰκόνες. Ita ipse Orig. in Joann. Tom. 2. num. 3. ἀληθινὸς θεὸς ὁ πατὴρ πρὸς εἰκόνα, καὶ εἰκόνας τῆς εἰκόνος. Et similiter contra Cels. lib. VIII. num. 17. Et in Joann. Tom. 1. num. 19."

[4]) Anglus: „Lege: τῷ ὄντι. Ita mox: τῷ ἐν σώματι."

[5]) Legit Bentlejus: „τῷ σώματι." R.

[6]) Cfr. Rom. XII, 2.

[7]) Cod. Mscr. recte: „τῇ ἀνακαινίσει," ed. Oxoniensis: „τῇ ἀνακαινώσει." R.

[8]) Matth. VI, 9. [9]) I Joann. III, 8.

[10]) Cod. Mscr. „γεγεννημένῳ." Ed. Oxoniensis: „γεγενημένῳ." R.

νασθαι κατορθοῦν τὸν ἔχοντα αὐτό.[1]) *Ἀλλ' ἐπεὶ* „*εἰς*[2]) *τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου·*" *δυνατὸν τῇ εἰς τὴν ψυχὴν ἡμῶν ἐπιδημίᾳ τοῦ λόγου τοῦ θεοῦ, λυθέντων τῶν ἔργων τοῦ διαβόλου, ἐξαφανισθῆναι τὸ ἐντεθὲν ἡμῖν σπέρμα πονηρὸν, καὶ γενέσθαι ἡμᾶς τέκνα τοῦ θεοῦ. Μὴ λέξεις τοίνυν*[3]) *νομίσωμεν διδάσκεσθαι λέγειν ἡμᾶς ἔν τινι ἀποτεταγμένῳ τοῦ εὔχεσθαι καιρῷ· ἀλλ' εἰ συνίεμεν τῶν ἡμῖν προεξετασθέντων εἰς τό·* „*ἀδιαλείπτως*[4]) *προσεύχεσθε·*" *πᾶς ἡμῶν ὁ βίος ἀδιαλείπτως προσευχομένων λεγέτω τό·* „*πάτερ*[5]) *ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·*" *τὸ πολίτευμα*[6]) *ἔχων οὐδαμῶς ἐπὶ γῆς, ἀλλὰ παντὶ τρόπῳ ἐν οὐρανοῖς, θρόνοις τυγχάνουσι τοῦ θεοῦ, διὰ τὸ ἱδρύσθαι τὴν τοῦ θεοῦ βασιλείαν ἐν πᾶσι τοῖς φοροῦσι* „*τὴν*[7]) *εἰκόνα τοῦ ἐπουρανίου,*" *καὶ διὰ τοῦτο γενομένοις ἐπουρανίοις.*

23. *Ἐπὰν*[8]) *λέγηται ὁ πατὴρ τῶν*[9]) *ἁγίων εἶναι ἐν τοῖς οὐρανοῖς, οὐ περιγεγράφθαι αὐτὸν σχήματι σωματικῷ ὑποληπτέον, καὶ ἐν οὐρανοῖς κατοικεῖν· ἐπεί τοι περιεχόμενος ἐλάττων τῶν οὐρανῶν ὁ θεὸς εὑρεθή-*

---

[1]) Edd. Oxon. et R. in textu: „*αὐτόν,*" ed. vero R. in notis: „Lege cum Bentlejo: *αὐτό*, refertur enim ad *σπέρμα.*" — Item Anglus.

[2]) I Joann. III, 8.

[3]) Anglus, ut videtur, recte: „Lege: *τοίνυν μόνον νομίσωμεν*, nam desideratur plane *μόνον*, quod propter syllabarum, ut opinor, similium concursum intercidit."

[4]) Edd. Oxon. et R. in textu: „*ἀδιαλείπτως προσεύχεσθαι,*" ed. vero R. in notis: „Forte legendum: *ἀδιαλείπτως προσεύχεσθε.*" — Anglus: „Mscr. male: *προσεύχεσθαι*, vult enim Orig. illud Apostoli monitum: *ἀδιαλείπτως προσεύχεσθε*, de quo antea disseruit num. 12." — Cfr. I Thess. V, 17.

[5]) Matth. VI, 9. [6]) Cfr. Philipp. III, 20.

[7]) Cfr. I Cor. XV, 49.

[8]) Anglus: „Forte: *ἐπὰν δὲ λέγηται.*"

[9]) Legit Bentlejus: „*τῶν ὅλων.*" R.

σεται, περιεχόντων αὐτὸν τῶν οὐρανῶν· δέον τῇ ἀφάτῳ δυνάμει τῆς θεότητος αὐτοῦ πεπεῖσθαι περιέχεσθαι καὶ συνέχεσθαι τὰ πάντα ὑπ᾽ αὐτοῦ. Καὶ καθολικῶς, τὰς ὅσον ἐπὶ τῷ ῥητῷ λέξεις τὰς νομιζομένας τοῖς ἁπλουστέροις ἐν τόπῳ φάσκειν εἶναι τὸν θεὸν, μεταληπτέον πρεπόντως ταῖς μεγάλαις καὶ πνευματικαῖς ἐννοίαις περὶ θεοῦ· οἷαί εἰσιν ἐν τῷ κατὰ Ἰωάννην αὗται· „πρὸ[1]) δὲ τῆς ἑορτῆς τοῦ πάσχα, εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς.“ Καὶ μετ᾽ ὀλίγα· „εἰδὼς,[2]) ὅτι πάντα ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθε, καὶ πρὸς θεὸν ὑπάγει.“ Καὶ μεθ᾽ ἕτερα· „ἠκούσατε,[3]) ὅτι ἐγὼ εἶπον ὑμῖν· ὑπάγω, καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν, ὅτι πορεύομαι πρὸς τὸν πατέρα.“ Καὶ πάλιν μεθ᾽ ἕτερα· „νῦν[4]) δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· ποῦ ὑπάγεις;“ Εἰ γὰρ ταῦτα τοπικῶς ἐκδεκτέον, δῆλον ὅτι καὶ τό· „ἀπεκρίθη[5]) ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ᾽ αὐτῷ ποιησόμεθα.“ Οὐχὶ δέ γε ταῦτα τοπικῆς μεταβάσεως νοουμένης περὶ τὸν πατέρα καὶ τὸν υἱὸν πρὸς τὸν ἀγαπῶντα τὸν λόγον τοῦ Ἰησοῦ γίνεται· οὐδ᾽ ἄρα τοπικῶς ταῦτα ἐκδεκτέον· ἀλλ᾽ ὁ λόγος τοῦ θεοῦ ἡμῖν συγκαταβαίνων, καὶ ὡς πρὸς τὴν ἰδίαν ἀξίαν, ὅτε παρὰ ἀνθρώποις ἐστὶ, ταπεινούμενος, μεταβαίνειν λέγεται[6]) ἐκ τοῦ

[1]) Cfr. ev. Joann. XIII, 1.
[2]) Cfr. ev. Joann. XIII, 3.
[3]) Ev. Joann. XIV, 28. [4]) Ev. Joann. XVI, 5.
[5]) Cfr. ev. Joann. XIV, 23.
[6]) Cod. Mscr. „λέγεται.“ Ed. Oxon. „λέγηται.“ R. — Anglus: „Cod. Mscr. λέγηται.“ — Cui quidem Ruaeus

κόσμου τούτου πρὸς τὸν πατέρα· ὅπως καὶ ἡμεῖς ἐκεῖθι τέλειον αὐτὸν θεασώμεθα, ἀπὸ τῆς παρ' ἡμῖν κενότητος, ἣν ἐκένωσεν ἑαυτὸν, ἐπὶ τὸ ἴδιον πλήρωμα παλινδρομοῦντα· ἔνθα καὶ ἡμεῖς αὐτῷ ὁδηγῷ χρώμενοι, πληρωθέντες, πάσης κενότητος ἀπαλλαγησόμεθα. Ἀπιέτω τοίνυν πρὸς τὸν πέμψαντα αὐτὸν ἀφεὶς τὸν κόσμον ὁ τοῦ θεοῦ λόγος, καὶ πρὸς τὸν πατέρα πορευέσθω. Καὶ τὸ ἐπὶ τέλει δὲ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου· „μή [1]) μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου·" μυστικώτερον νοῆσαι ζητήσωμεν· τῆς ἀναβάσεως πρὸς τὸν πατέρα τοῦ υἱοῦ θεοπρεπέστερον μετὰ ἁγίας τρανότητος ἡμῖν νοουμένης, ἥντινα ἀνάβασιν νοῦς μᾶλλον ἀναβαίνει σώματος. Ταῦτα ἡγοῦμαι [2]) συνεξητακέναι τῷ· „πάτερ [3]) ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·" ὑπὲρ τοῦ ταπεινὴν περὶ θεοῦ ὑπόληψιν τῶν νομιζόντων αὐτὸν εἶναι τοπικῶς ἐν οὐρανοῖς περιελεῖν, καὶ μὴ ἐᾷν τινα [4]) ἐν σωματικῷ τόπῳ εἶναι τὸν θεόν· ἐπεὶ τούτῳ

---

haec respondet: „In Cod. Mscr. legit Walkerus: λέγεται."

[1]) Ev. Joann. XX, 17.

[2]) Anglus: „Desideratur hic, ut opinor, vox ἀναγκαίως, ut sit: ἡγοῦμαι ἀναγκαίως συνεξητακέναι, nam tale quid poscit sententia; atque hac phrasi passim utitur Origenes. Ita supra num 13. ταῦτα δέ μοι ἀναγκαιότατα — εἰρῆσθαι νομίζω. Et num. 24. in fine: ἀναγκαῖον δέ μοι ἔδοξεν — ὑπομνησθῆναι. Et num. 27. in fine: ταῦτα δέ μοι δοκεῖ ἀναγκαιότατα ἐξητᾶσθαι. Atque num. 31. in fine: ταῦτα δέ μοι ἀναγκαίως εἰρῆσθαι φαίνεται. Sic et in Matth. Tom. 11. num. 14. ταῦτα δέ μοι ἔδοξεν ἀναγκαίως παρειλῆφθαι. Et num. 17. ταῦτα δὲ — ἀναγκαίως λέλεκται. Et in Joann. Tom. 10. num. 21. νομίζω δ' ἀναγκαίως καὶ ταῦτα παρατεθεῖσθαι. Atque ita saepe in libris contra Celsum." — Equidem nihil addiderim.

[3]) Matth. VI, 9.

[4]) Post „τινα" forte addendum: „οἴεσθαι." R. —

ἀκόλουθόν ἐστι, καὶ σῶμα αὐτὸν εἶναι λέγειν· ᾧ ἕπεται δόγματα ἀσεβέστατα, τὸ διαίρετον, καὶ ὑλικὸν, καὶ φθαρτὸν αὐτὸν εἶναι ὑπολαμβάνειν· πᾶν γὰρ σῶμα διαίρετόν ἐστι, καὶ ὑλικὸν, καὶ φθαρτόν. Ἢ λεγέτωσαν ἡμῖν μὴ κενοπαθοῦντες, ἀλλὰ τρανῶς καταλαμβάνειν φάσκοντες, πῶς[1]) οἷόν τέ ἐστιν ἑτέρας φύσεως παρὰ τὴν ὑλικήν; Ἐπεὶ δὲ καὶ πρὸ τῆς σωματικῆς Χριστοῦ ἐπιδημίας, γραμμάτων πολλὰ τὸ ἐν σωματικῷ εἶναι τὸν θεὸν λέγειν δοκεῖ, οὐκ ἄτοπόν μοι φαίνεται ὀλίγα κἀκείνων παραθέσθαι, ὑπὲρ τοῦ πάντα περισπασμὸν ἀφελεῖν ἀπὸ τῶν διὰ τὸν ἰδιωτισμὸν, τὸ[2]) ὅσον ἐπ' αὐτοῖς, μικρῷ καὶ βραχεῖ τόπῳ ἐμπεριλαμβανόντων τὸν ἐπὶ πάντων θεόν. Καὶ πρῶτόν γε ἐν τῇ Γενέσει „Ἀδὰμ[3]) καὶ Εὔα, φησὶν, ἤκουσαν τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος τὸ δειλινὸν ἐν τῷ παραδείσῳ· καὶ ἐκρύβησαν ὅ, τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ, ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου.“ Ἐροῦμεν πρὸς τοὺς εἰς τοὺς θησαυροὺς τῆς

Anglus: „Mutilus plane est hic locus; quem sic restituo: *καὶ μὴ ἐᾷν τινα ἐν σωματικῷ τόπῳ φάσκειν εἶναι τὸν θεόν.* Ita enim sectionis hujus initio: *λέξεις νομιζομένας τοῖς ἁπλουστέροις ἐν τόπῳ φάσκειν εἶναι τὸν θεόν.*“

[1]) Lego cum Bentlejo: „*πῶς οἷόν τε εἶναι.*“ R. — Anglus: „Lege: *πῶς οἷόν τέ ἐστιν ἑτέρας εἶναι φύσεως,* nam deest plane: *εἶναι.*“ — Equidem ab Angli partibus steterim.

[2]) Anglus: „Lege: *τῷ, ὅσον ἐπ' αὐτοῖς, μικρῷ*“ *κτλ.* — Cui Ruaeus, et recte quidem, ut videtur, haec respondet: „Ferri tamen potest illud: *τὸ ὅσον*, quo et ipse Origenes alias utitur, e. c. Comm. in Joann. Tom. 2. num. 8. *ἐκλείποντα τῶν πάντων, τὸ ὅσον ἐπὶ τῇ ὑποθέσει αὐτοῦ, τὰ τοῦ κόσμου.* Sic autem distinguendum: *διὰ τὸν ἰδιωτισμὸν, τὸ ὅσον ἐπ' αὐτοῖς, μικρῷ*“ *κτλ.*

[3]) Cfr. Gen. III, 8.

λέξεως ἐλθεῖν μὴ βουλομένους, ἀλλὰ μηδὲ τὴν ἀρχὴν κρούοντας τὴν θύραν αὐτῆς, εἰ δύνανται παραστῆσαι κύριον τὸν θεὸν πληροῦντα [1]) *τὸν οὐρανὸν καὶ τὴν γῆν, τὸν, ὡς αὐτοὶ ὑπολαμβάνουσι, σωματικώτερον οὐρανῷ θρόνῳ χρώμενον, καὶ τῇ γῇ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὑπὸ οὕτω βραχέος* [2]) *συγκρίσει τοῦ παντὸς οὐρανοῦ καὶ τῆς γῆς περιέχεσθαι τόπου, ὥστε, ὃν ὑπολαμβάνουσι σωματικὸν παράδεισον, μὴ ἐκπληροῦσθαι ὑπὸ τοῦ θεοῦ, ἀλλὰ τοσούτῳ αὐτοῦ εἶναι τῷ μεγέθει μείζονα, ὡς καὶ περιπατοῦντα χωρεῖν αὐτὸν, ἀκουομένης φωνῆς ἀπὸ τῆς βάσεως τῶν ποδῶν αὐτοῦ. Ἔτι δὲ κατ' ἐκείνους ἀτοπώτερον τὸ, αἰδουμένους τὸν θεὸν διὰ τὴν παράβασιν, τὸν Ἀδὰμ καὶ τὴν Εὔαν κρύπτεσθαι* [3]) *ἀπὸ προσώπου τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. Οὐδὲ γὰρ λέγεται, ὅτι* [4]) *οὕτως ἠθέλησαν κρύπτεσθαι, ἀλλ' ὄντως ἐκρύβησαν. Πῶς δὲ κατ' αὐτοὺς πυνθάνεται τοῦ Ἀδὰμ ὁ θεὸς, λέγων· „ποῦ* [5]) *εἶ;" Περὶ τούτων δὲ ἐπιπλεῖον διειλήφαμεν, ἐξετάζοντες τὰ εἰς τὴν Γένεσιν· πλὴν καὶ νῦν ἵνα μὴ τέλεον παρασιωπήσωμεν τὸ τηλικοῦτον πρόβλημα, αὐτάρκως ἀναμνησθησόμεθα τοῦ· „ἐνοικήσω* [6]) *ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω ἐν αὐτοῖς·" λεγομένου ἐν Δευτερονομίῳ* [7]) *ὑπὸ*

---

[1]) Ed. Oxoniensis: „*τὸν πληροῦντα.*"

[2]) Edd. Oxon. et R. in textu: „*βραχείᾳ,*" ed. vero R. in notis: „Lego cum Bentlejo: *βραχέος.*" — Item fere Anglus: „Lege: *βραχέος,* scil. *τόπου,* quod mox sequitur."

[3]) Cfr. Gen. III, 8.

[4]) Cod. Mscr. „*ὅτι.*" Ed. Oxoniensis: „*ὅτε.*" R.

[5]) Gen. III, 9.

[6]) Cfr. Deut. XXIII, 14. coll. II Cor. VI, 16. Levit. XXVI, 12. et Ezech. XXXVII, 27.

[7]) Anglus: „Verba hic citata non exstant in Deuteronomio, nec iis quidquam simile, nisi illa voluit Origenes: *ὁ θεός σου ἐμπεριπατεῖ ἐν τῇ παρεμβολῇ σου,*

τοῦ θεοῦ. Ὁποῖος γὰρ αὐτοῦ ὁ περίπατος ἐν τοῖς ἁγίοις, τοιοῦτός τις καὶ ἐν τῷ παραδείσῳ, κρυπτομένου [1]) θεὸν, καὶ φεύγοντος τὴν ἐπισκοπὴν αὐτοῦ, καὶ ἀφισταμένου τῆς παῤῥησίας [2]) παντὸς τοῦ ἁμαρτάνοντος· οὕτω γὰρ καὶ „Κάϊν [3]) ἐξῆλθεν ἀπὸ προσώπου τοῦ θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ.“ Ὡς οὖν ἐν τοῖς ἁγίοις ἐνοικεῖ, οὕτως καὶ ἐν οὐρανῷ, ἤτοι παντὶ ἁγίῳ καὶ φοροῦντι [4]) τὴν εἰκόνα τοῦ ἐπουρανίου, ἢ τῷ Χριστῷ, ἐν ᾧ εἰσι πάντες οἱ σωζόμενοι φωστῆρες καὶ ἀστέρες τοῦ οὐρανοῦ· ἢ καὶ διὰ [5]) τοὺς

---

cap. XXIII, 14., neque usquam in Scripturis ita juncta occurrunt, praeterquam in II Cor. VI, 16. Apostolus vero ea partim ex Levit. XXVI, 12., partim ex Ezech. XXXVII, 27. sumsisse videtur. Atque ipse quidem Orig. in Matth. Tom. 10. num 15. ea citare videtur ex Levitico: νόμου λέγοντος ἐν Λευϊτικῷ, — θήσω τὴν σκηνήν μου ἐν ὑμῖν· — τίθησι τὴν ἑαυτοῦ σκηνὴν ἐν ἡμῖν, πληρῶν ἣν εἶπεν ἐπαγγελίαν· ἐνοικήσω, καὶ ἐμπεριπατήσω ἐν αὐτοῖς.“

[1]) Anglus: „Somnolentus haec scripsit librarius; pro quibus ne dubites legere: κρυπτομένου ἀπὸ προσώπου τοῦ θεοῦ. Nam respicit plane Orig. ad verba supra citata ex Gen. III, 8. ἐκρύβησαν ὅ, τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου τοῦ θεοῦ. Ita vero Homil. 16. in Jeremiam: οἱ φαῦλοι κρύπτονται ἀπὸ προσώπου τοῦ θεοῦ, — ὁ δὲ ἅγιος οὐ κέκρυπται.“ — Equidem nihil mutaverim.

[2]) Lego cum Bentlejo: „παρουσίας.“ R.

[3]) Gen. IV, 16. [4]) Cfr. I Cor. XV, 49.

[5]) Bentlejus legendum conjicit: „διὰ τὸ ἐν οὐρανῷ ἁγίους κατοικεῖν. Τὸ δ' εἰρημένον.“ R. — Anglus: „Deest plane aliquid; quod sic fortasse est supplendum: διὰ τοὺς ἐν οὐρανῷ ἁγίους κατοικεῖ ἐκεῖ, κατὰ τὸ εἰρημένον κτλ. Ἐκεῖ, i. e. ἐν οὐρανῷ. Illa autem: ἐκεῖ κατά in κατοικεῖ deperdita videntur.“ — Equidem lege-

ἐν οὐρανῷ ἁγίους κατοικεῖ. Τὸ εἰρημένον· „πρὸς[1]) σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ·“ καὶ τὸ ἐν τῷ Ἐκκλησιαστῇ δέ· „μὴ[2]) σπεύσῃς ἐξενεγκεῖν λόγον πρὸ προσώπου τοῦ θεοῦ· ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ γῆς κάτω·“ διάστημα βούλεται δηλῶσαι ἀπὸ τῶν ὄντων ἐν τῷ σώματι[3]) τῆς ταπεινώσεως, ἕως τοῦ[4]) παρὰ τοῖς ὑψουμένοις ὑπὸ τῆς ὠφελείας καὶ[5]) τοῦ λόγου ἀγγέλοις, καὶ δυνάμεσιν ἁγίαις, ἢ[6]) αὐτῷ τῷ Χριστῷ. Οὐ γὰρ ἄτοπον, αὐτὸν μὲν εἶναι κυρίως θρόνον[7]) τοῦ πατρὸς, ἀλληγορικώτερον οὐρανὸν καλούμενον· τὴν δὲ ἐκκλησίαν αὐτοῦ[8]) γῆν ὀνομαζομένην ὑποπόδιον τυγχάνειν τῶν ποδῶν αὐτοῦ. Προστεθείκαμεν δὴ[9]) ὀλίγα καὶ τῆς παλαιᾶς διαθήκης ῥητὰ, νομιζόμενα ἐν τόπῳ παριστάνειν[10]) τὸν θεὸν, ὑπὲρ τοῦ πάντοθεν κατὰ τὴν διδομένην ἡμῖν δύναμιν πεῖσαι τὸν ἐντυγχάνοντα, ὑψηλότερον καὶ πνευματικώτερον ἀκούειν τῆς θείας γραφῆς, ὅταν δοκῇ ἐν τόπῳ διδάσκειν εἶναι τὸν θεόν. Ἔπρεπε δὲ ταῦτα συνεξετασθῆναι τῷ· „πάτερ[11]) ἡμῶν ὁ ἐν τοῖς

---

rim: „διὰ τοὺς ἐν οὐρανῷ ἁγίους κατοικεῖ ἐκεῖ. Τὸ δ' εἰρημένον“ κτλ.

1) Psalm. CXXIII, 1. (CXXII.)

2) Cfr. Ecclesiast. V, 1. 3) Cfr. Philipp. III, 21.

4) Anglus: „Legendum opinor: *τῶν*, scil. *ἐν οὐρανῷ ἁγίων*, in quibus paulo ante dixerat Deum *ἐνοικεῖν*.“ — Equidem nihil mutaverim.

5) Anglus: „Dele: *καί*.“

6) Sic Cod. Mscr. Editio autem Oxon. omisit: „*ἤ*.“ R. — Anglus: „Lege: *καὶ αὐτῷ*.“

7) Cfr. Hebr. I, 8. coll. Psalm. XLV, 6. et Act. VII, 49.

8) Ed. Oxoniensis: „*αὐτοῦ τὴν ὀνομαζομένην*.“

9) Anglus: „Lege: *δέ*.“

10) Cod. Mscr. „*παριστάνειν*,“ ed. Oxon. „*περιστάνειν*.“ R.

11) Matth. VI, 9.

οὐρανοῖς·“ οἱονεὶ ἀφιστὰς[1]) τὴν οὐσίαν τοῦ θεοῦ ἀπὸ πάντων τῶν γεννητῶν· οἷς[2]) γὰρ οὐ κοινωνεῖ, αὐτοῖς δόξα τις θεοῦ, καὶ δύναμις αὐτοῦ, καὶ, ἵν' οὕτως εἴπω, ἀποῤῥοὴ τῆς θεότητος ἐγγίνεται αὐτοῖς.

24. Ἁγιασθήτω[3]) τὸ ὄνομά σου.“ Εἴτε[4]) μὲν παρίστησι τὸ μὴ γεγονέναι πω, περὶ οὗ εὔχεται, εἴτε δὲ τούτου τυχὼν, τὸ μὴ παραμένον αὐτὸ καὶ τηρεῖσθαι ἀξιοῖ, φανερὸν ὅσον ἐπὶ τῇ λέξει ἐνταῦθα, ὡς μηδέπω ἁγιασθέντος τοῦ ὀνόματος τοῦ πατρὸς, κελεύεσθαι λέγειν ἡμᾶς κατά[5]) γε τὸν Ματθαῖον καὶ τὸν Λουκᾶν

---

[1]) Anglus: „Nihil est, ad quod referatur hoc ἀφιστάς. Mihi igitur legendum videtur: ἀφιστάντι, scil. τῷ· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Vult enim eam istius phrasis vim esse, ut Dei essentiam a creaturis longe semotam significet, illumque non σωματικῶς, sed προνοητικῶς tantum rebus mundanis interesse.“ — Equidem nihil mutaverim.

[2]) Anglus: „Corruptus plane est hic locus; qui hoc fortasse modo sanari possit: τῶν γεννητῶν, οἷς οὐ κοινωνεῖ· οἷς γὰρ κοινωνεῖ, (vel: ἐνοικῶν κοινωνεῖ), αὐτοῖς δόξα — ἐγγίνεται. Nam respicere videtur ad ea, quae supra dixerat, Deum scil. in sanctis, tanquam coelis, ἐνοικεῖν, atque adeo eos θείας φύσεως, ut loquitur Apostolus, participes facere.“

[3]) Matth. VI, 9. coll. Luc. XI, 2.

[4]) Edd. Oxon. et Ruaei in textu: „ὅτε μὲν — εὔχεται, ὅτε δὲ τούτου τυχὸν τὸ μὴ“ κτλ., ed. vero R. in notis: „Lego cum Bentlejo: εἴτε μὲν — εὔχεται, εἴτε δὲ τούτου τυχὼν, τὸ μὴ“ κτλ. — Anglus: „Supplendum hic, aut subaudiendum saltem esse arbitror: ὁ εὐχόμενος. Unde totum locum, qui mendosus plane est, sic refingo: ὁ εὐχόμενος ὅτε μὲν παρίστησι — εὔχεται, ὅτε δὲ τούτου τυχὼν, τὸ μὴ παραμένον αὐτῷ καὶ τηρεῖσθαι ἀξιοῖ· φανερὸν δὲ, ὅσον“ κτλ.

[5]) Anglus: „Ostenderat supra Origenes Lucam a Matthaeo discrepare, et verba illa: ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς,

τό· „ἁγιασθήτω[1]) τὸ ὄνομά σου.“ Καὶ πῶς, εἴποι τις ἂν, ἄνθρωπος ἀξιοῖ ἁγιάζεσθαι τὸ ὄνομα τοῦ θεοῦ ὡς μὴ ἡγιασμένον; Τί τὸ ὄνομα τοῦ[2]) πατρὸς, καὶ τί τὸ ἁγιάζεσθαι αὐτὸ κατανοήσωμεν. Ὄνομα τοίνυν ἐστὶ κεφαλαιώδης προσηγορία τῆς ἰδίας ποιότητος τοῦ ὀνομαζομένου παραστατική· οἷόν ἐστί τις ἰδία ποιότης Παύλου τοῦ ἀποστόλου· ἡ μέν τις τῆς ψυχῆς, καθ' ἣν τοιάδε ἐστίν· ἡ δέ τις τοῦ νοῦ, καθ' ἣν τοιῶνδέ ἐστι θεωρητικός·[3]) ἡ δέ τις τοῦ σώματος αὐτοῦ, καθ' ἣν τοιόνδέ ἐστι. Τὸ τοίνυν τούτων τῶν ποιοτήτων ἴδιον καὶ ἀσυντρόχαστον πρὸς ἕτερον· — ἄλλος γάρ τις ἀπαράλλακτος Παύλου ἐν τοῖς οὖσιν οὐκ ἔστι· — δηλοῦται διὰ τῆς „Παῦλος“ ὀνομασίας. Ἀλλ' ἐπὶ ἀνθρώπων, οἱονεὶ ἀλλασσομένων τῶν ἰδίων ποιοτήτων, ὑγιῶς κατὰ τὴν γραφὴν ἀλλάσσεται καὶ τὰ ὀνόματα· μεταβαλούσης γὰρ τῆς τοῦ Ἀβρὰμ ποιότητος, ἐκλήθη Ἀβραὰμ,[4]) καὶ τῆς τοῦ Σίμωνος, ὁ Πέτρος[5]) ὠνομάσθη, καὶ τῆς τοῦ διώκοντος τὸν Ἰησοῦν Σαοὺλ, προσηγορεύθη[6]) ὁ Παῦλος. Ἐπὶ δὲ θεοῦ, ὅστις αὐτός ἐστιν ἄτρεπτος, καὶ ἀναλλοίωτος ἀεὶ τυγχάνων, ἕν[7]) ἐστιν ἀεὶ τὸ οἱονεὶ

---

quae haec praecedunt, non agnoscere; nunc vero notat, in eandem ambos hic semitam redire, et in his: ἁγιασθήτω τὸ ὄνομά σου, consentire. Aptius igitur pro: κατά γε, legatur: κατά τε τὸν Ματθαῖον καὶ τὸν Λουκᾶν.“

[1]) Matth. VI, 9. coll. Luc. XI, 2.

[2]) Anglus: „Pro: τοῦ, legendum arbitror: οὖν, ut sit: τί τὸ ὄνομα οὖν πατρός. Id enim sententia poscere videtur.“

[3]) Edd. Oxon. et R. in textu: „θεωρητική,“ ed. vero R. in notis: „Lego cum Bentlejo: θεωρητικός.“ — Item fere Anglus: „Lege: θεωρητικός, scil. νοῦς.“

[4]) Cfr. Gen. XVII, 5. [5]) Cfr. Marc. III, 16.

[6]) Cfr. Act. XIII, 9.

[7]) Cod. Mscr. „ἕν ἐστιν.“ Ed. Oxoniensis: „ἔνεστιν.“ R.

καὶ ἐπ' αὐτοῦ ὄνομα τό· „ὤν·“[1]) ἐν τῇ Ἐξόδῳ εἰρημένον, ἤ τι οὕτως ἂν λεχθησόμενον. Ἐπεὶ οὖν περὶ θεοῦ πάντες μὲν ὑπολαμβάνομέν τι, ἐννοοῦντες ἅτινα δήποτε περὶ αὐτοῦ, οὐ πάντες δὲ ὅ ἐστι· — σπάνιοι γάρ, καὶ εἰ χρὴ λέγειν, τῶν σπανίων σπανιώτεροι οἱ τὴν ἐν πᾶσιν ἁγιότητα[2]) καταλαμβάνοντες αὐτοῦ· — εὐλόγως διδασκόμεθα τὴν ἐν ἡμῖν ἔννοιαν περὶ θεοῦ ἁγίαν[3]) γενέσθαι, ἵν' ἴδωμεν αὐτοῦ τὴν ἁγιότητα[4]) κτίζοντος, καὶ προνοοῦντος, καὶ κρίνοντος, καὶ ἐκλεγομένου, καὶ ἐγκαταλείποντος, ἀποδεχομένου τε καὶ ἀποστρεφομένου, καὶ γέρως ἀξιοῦντος, καὶ κολάζοντος ἕκαστον κατὰ τὴν ἀξίαν. Ἐν τούτοις γὰρ καὶ τοῖς παραπλησίοις, ἵν' οὕτως εἴπω, χαρακτηρίζεται ἰδία ποιότης τοῦ θεοῦ, ἥντινα νομίζω ὄνομα θεοῦ λέγεσθαι κατὰ τὰς γραφάς· ἐν μὲν τῇ Ἐξόδῳ· „οὐ[5]) λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ·“ ἐν δὲ τῷ Δευτερονομίῳ· „προσδοκάσθω[6]) ὡσεὶ ὑετὸς τὸ ἀπόφθεγμά μου, καταβήτω ὡσεὶ δρόσος τὰ ῥήματά μου· ὡσεὶ ὄμβρος ἐπ' ἄγρωστιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον· ὅτι ὄνομα κυρίου ἐκάλεσα.“ Ἐν δὲ ψαλμοῖς· „μνησθήσονται[7]) τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.“ Ὅ, τε γὰρ οἷς μὴ δεῖ ἐφαρμόζων τὴν ἔννοιαν τοῦ θεοῦ, λαμβάνει τὸ ὄνομα κυρίου τοῦ θεοῦ ἐπὶ ματαίῳ· ὅ, τε

---

[1]) Anglus: „Ita quidem habet Cod. Holm., sed desiderari mihi videtur articulus: ὁ, ut sit: ὄνομα τό· ὁ ὤν. Hoc enim est nomen illud, quod in loco hic citato sibi vindicat Deus, ubi Mosi de nomine interroganti respondet: ἐγώ εἰμι ὁ ὤν· — οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· ὁ ὢν ἀπέσταλκέ με.“ — Cfr. Exod. III, 14.

[2]) Lego cum Bentlejo: „ἰδιότητα.“ R.

[3]) Lego cum Bentlejo: „ὑγιῆ γενέσθαι ἂν ἴδωμεν αὐτοῦ τὴν ἰδιότητα κτίζοντος.“

[4]) Ed. Ruaei: „ἁγνότητα.“

[5]) Exod. XX, 7. [6]) Cfr. Deut. XXXII, 2. 3.

[7]) Psalm. XLV, 17. (XLIV.)

δυνάμενος ἀποφθέγξασθαι ὑετὸν τοῖς ἀκούουσι συνεργοῦντα τῇ καρποφορίᾳ τῶν ψυχῶν ἑαυτῶν, καὶ ῥήματα δρόσῳ ἐοικότα παρακλητικὰ προσαγόμενος, τῇ τε ῥύμῃ[1]) *τῆς οἰκοδομῆς τῶν λόγων ὄμβρον ὠφελιμώτατον ἐπάγων τοῖς ἀκροαταῖς, ἢ νιφετὸν ἀνυσιμώτατον, διὰ*[2]) *τοῦτο ταῦτα δύναται. Ταῦτα ἐπινοήσας ἑαυτὸν δεόμενον θεοῦ τοῦ τελειοῦντος, καλεῖ παρ' ἑαυτὸν τὸν τῶν προειρημένων κυρίως χορηγόν. Πᾶς τε τρανῶν καὶ τὰ περὶ τοῦ θεοῦ, ὑπομιμνήσκεται μᾶλλον ἢ μανθάνει, κἂν ἀπό τινος ἀκούειν δοκῇ, ἢ εὑρίσκειν νομίζῃ τὰ τῆς θεοσεβείας μυστήρια. Ὥσπερ δὲ τὰ*[3]) *ἐνθάδε δεῖ νοεῖν τὸν εὐχόμενον, αἰτεῖν*[4]) *αὐτὸν ἁγιασθῆναι τὸ ὄνομα*

---

[1]) Bentlejus legit: „*ῥώμῃ*" R. — Praestare videtur lectio: „*ῥύμῃ*."

[2]) Anglus: „Legendum videtur: *διὰ τούτου* (scil. *ὀνόματος*) *ταῦτα δύναται· διὰ τοῦτο ἐπινοήσας*."

[3]) Anglus: „Cum in antecedd. dixerit Origenes, Dei naturam et attributa ei esse intelligenda, qui rite vult precari, ut sanctificetur Dei nomen, non video, quomodo introducat nunc *τὰ ἐνθάδε*, tanquam intellectu necessaria, quae ad veram illam et *ὑψηλὴ γνῶσιν θεοῦ*, uti mox appellat, nihil pertinent. Ipsius igitur sententiae vis me cogit pro: *τὰ ἐνθάδε*, hic legere: *τὰ τοῦ θεοῦ*, hoc est, *ὅ ἐστι*, ut supra dixit, et quaenam sit ejus *ἰδία ποιότης*. Quibus quidem ignoratis frustra quis precatur, sicut ante nos docuit num. 21. *εἴ τις ἀγνοεῖ τὸν θεὸν, καὶ τὰ τοῦ θεοῦ, ἀγνοεῖ δὴ τὰ ὧν χρείαν ἔχει.*" — Cui quidem Ruaeus recte, ut videtur, haecce respondet: „Mihi vero retinenda videntur *τὰ ἐνθάδε*, et explicanda, quemadmodum interpretatus est Claudius Fleury: ***Sicut autem quae hic dicta sunt oportet orantem considerare.***"

[4]) Cod. Mscr. „*αἰτεῖν*." Ed. Oxoniensis: „*αἰτοῦντα*." R. — Anglus: „In Cod. scriptum legitur: *αἰτεῖν*, sed vitiose, ut opinor, pro: *αἰτοῦντα*, sicut exhibuit ed. Oxoniensis; neque enim aliter constabit sententia. *αὐτόν*, id

τοῦ θεοῦ· οὕτως ἐν ψαλμοῖς τό· „ὑψώσωμεν[1]) τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό·“ λέγεται, προστάσσοντος τοῦ πατρὸς,[2]) μετὰ πάσης συμφωνίας, ἐν τῷ αὐτῷ νοΐ,[3]) καὶ ἐν τῇ αὐτῇ γνώμῃ, φθάσαι ἐπὶ τὴν ἀληθῆ καὶ ὑψηλὴν γνῶσιν τῆς ἰδιότητος τοῦ θεοῦ. Τοῦτο γάρ ἐστι τὸ[4]) ὑψοῦντος τὸ ὄνομα τοῦ θεοῦ ἐπὶ τὸ αὐτό· μεταλαβών[5]) τις ἀποῤῥοῆς θεότητος τῷ[6]) ὑπειλῆφθαι ἀπὸ τοῦ θεοῦ, καὶ κεκρατηκέναι τῶν ἐχθρῶν ἐφησθῆναι πτώσει αὐτοῦ μὴ δυναμένων, ὑψοῖ αὐτὴν τὴν δύναμιν, ἧς μετείληχε, θεοῦ· ὅπερ δηλοῦται ἐν εἰκοστῷ[7]) ἐννάτῳ ψαλμῷ διὰ τοῦ· „ὑψώσω[8]) σε, κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ[9]) εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμοί.“

---

est, μόνον.“ — Cui quidem recte Ruaeus haec respondet: „αἰτεῖν retinendum, subintelligendo δηλονότι.“

[1]) Psalm. XXXIV, 4. (XXXIII).

[2]) Anglus non male: „Hujus loco legendum plane est: Δαυίδ, nam illius προστάσσοντος sunt haec verba: ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ“ κτλ.

[3]) Cfr. I Cor. I, 10.

[4]) Forte legendum: „τοῦ ὑψοῦντος,“ vel: „τὸ ὑψοῦν τὸ ὄνομα.“ R. — Item fere Anglus: „Lege: τὸ ὑψοῦν τὸ ὄνομα τοῦ θεοῦ ἐπὶ τὸ αὐτό. Nam illud τος manifestum est librarii sphalma.“ — Equidem ab Angli steterim partibus.

[5]) Ante: „μεταλαβών τις,“ addo cum Bentlejo: „ὅτε.“ R. — Anglus: „Rectius, ut opinor, legas: μεταλαβὼν δέ τις — ὑψώσει αὐτήν κτλ., sicut in exemplo sequitur: ὑψώσω σε, κύριε, ὅτι ὑπέλαβές με.“ — Equidem nihil mutaverim.

[6]) Cod. Mscr. „τῷ ὑπειλῆφθαι.“ Ed. Oxoniensis: „τὸ ὑπειλῆφθαι.“ R.

[7]) Cod. Mscr. habet: κθ'. Ed. vero Oxon. male: αθ'. R. [8]) Cfr. Psalm. XXX, 1. (XXIX.)

[9]) Anglus: „Omisit οὐκ librarius, quod nos ex edd. LXX. virorum vers. revocandum duximus.“ — Cui tamen

Ὑψοῖ δέ τις τὸν θεὸν, ἐγκαινίσας αὐτῷ οἶκον ἐν ἑαυτῷ, ἐπεὶ καὶ ἡ[1]) ἐπιγραφὴ τοῦ ψαλμοῦ οὕτως ἔχει· „ψαλμὸς[2]) ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου τοῦ Δαυίδ.“ Ἔτι[3]) περὶ τοῦ· „ἁγιασθήτω[4]) τὸ ὄνομά σου·“ καὶ τῶν ἑξῆς προστακτικῷ χαρακτῆρι εἰρημένων, λεκτέον, ὅτι συνεχῶς προστακτικοῖς ἀντὶ εὐκτικῶν ἐχρήσαντο καὶ οἱ ἑρμηνεύσαντες· ὡς ἐν τοῖς ψαλμοῖς· „ἄλαλα[5]) γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν·“ ἀντὶ τοῦ· „γενηθεῖεν·“[6]) καί· „ἐξερευνησάτω[7]) δανειστὴς πάντα τὰ ὑπάρχοντα αὐτῷ. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ·“ ἐν τῷ ἑκατοστῷ ὀγδόῳ περὶ Ἰούδα· ὅλος γὰρ ὁ ψαλμὸς αἴτησίς ἐστι περὶ Ἰούδα, ἵνα τάδε τινὰ αὐτῷ συμβῇ. Μὴ συνιδὼν δὲ ὁ Τατιανὸς τό·[8]) „γενηθήτω·“[9]) οὐ πάντοτε σημαίνειν[10]) τὸ εὐκτικὸν, ἀλλ' ἔσθ' ὅπου καὶ

Ruaeus haec respondet: „οὐκ non omisit librarius teste Walkero.“

[1]) Edd. Oxon. et R. in textu: „ἡ γραφή,“ ed. vero R. in notis: „Lego cum Bentlejo: ἡ ἐπιγραφή.“ — Item Anglus.

[2]) Cfr. Psalm. XXX. (XXIX.)

[3]) Cod. Mscr. „ἔτι.“ Ed. Oxon. male: „ἔστι.“ R. — Anglus: „Fortasse: ἔτι δὲ περί, sicut in hoc libello saepe habet Origenes. In ed. vero Oxon. male legitur: ἔστι περί.“

[4]) Matth. VI, 9. coll. Luc. XI, 2.

[5]) Psalm. XXXI, 18. (XXX.)

[6]) Anglus, qui in textu legit: „γενηθείη,“ in notis: „Ita Anonymi scholia in orat. Dominic., quae huic libello subjunximus: τό· ἁγιασθήτω· οὐ προστακτικόν· εὐκτέον δὲ, οἷον· ἁγιασθείη.“

[7]) Psalm. CIX, 11. 12. (CVIII.)

[8]) Anglus: „Lege: τῷ· γενηθήτω· οὐ πάντοτε συμβαίνειν.“

[9]) Cfr. Psalm. XXXI, 18. (XXX.)

[10]) Edd. Oxon. et R. in textu: „συμβαίνειν,“ ed. vero R. in notis: „Lego cum Bentlejo: σημαίνειν.“ — Cfr. pag. huj. not. 8.

προστακτικὸν, ἀσεβέστατα ὑπείληφε περὶ τοῦ εἰπόντος· „γενηθήτω[1]) φῶς·“ θεοῦ, ὡς εὐξαμένου μᾶλλον ἤπερ προστάξαντος γενηθῆναι τὸ φῶς· ἐπεὶ, ὥς φησιν ἐκεῖνος ἀθέως νοῶν, ἐν σκότῳ ἦν ὁ θεός. Πρὸς ὃν λεκτέον, πῶς ἐκλήψεται καὶ τό· „βλαστησάτω[2]) ἡ γῆ βοτάνην χόρτου·“ καί· „συναχθήτω[3]) τὸ ὕδωρ ὑποκάτω[4]) τοῦ οὐρανοῦ·“ καί· „ἐξαγαγέτω[5]) τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν·“ καί· „ἐξαγαγέτω[6]) ἡ γῆ ψυχὴν ζῶσαν.“ Ἆρα γὰρ ὑπὲρ τοῦ ἐπὶ ἑδραίου στῆναι, εὔχεται συναχθῆναι τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν; Ἢ ὑπὲρ τοῦ μεταλαβεῖν τῶν βλαστανόντων ἀπὸ γῆς εὔχεται τό· „βλαστησάτω[7]) ἡ γῆ;“ Ποίαν δὲ χρείαν ὁμοίαν ἔχει τῷ[8]) χρῄζειν φωτὸς, τῶν ἐνύδρων καὶ πτηνῶν, ἢ[9]) χερσαίων, ἵνα καὶ περὶ τούτων εὔχηται; Εἰ δὲ καὶ κατ᾽ αὐτὸν ἄτοπον τὸ περὶ τούτων εὔχεσθαι, προστακτικαῖς ὀνομασίαις εἰρημένων, πῶς οὐ τὸ ὅμοιον λεκτέον καὶ περὶ τοῦ· „γενηθήτω[10]) φῶς·“ ὡς μὴ εὐκτικῶς, ἀλλὰ προστακτικῶς εἰρημένου; Ἀναγκαίως δέ μοι ἔδοξεν, ἐν ταῖς προστακτικαῖς φωναῖς εἰρημένης εὐχῆς, ὑπομνησθῆναι τῶν παρεκδοχῶν αὐτοῦ διὰ τοὺς ἠπατημένους, καὶ παραδεξαμένους τὴν ἀσεβῆ διδασκαλίαν αὐτοῦ, ὧν καὶ ἡμεῖς ποτε πεπειράμεθα.

25. „Ἐλθέτω[11]) ἡ βασιλεία σου.“ Εἰ „ἡ[12]) βασι-

---

[1]) Gen. I, 3.

[2]) Gen. I, 11. [3]) Cfr. Gen. I, 9.

[4]) Anglus: „Lege: τὸ ὑποκάτω, sicut exstat in edd. LXX. viror. versionum. Ita enim paulo post repetit ipse Origenes.“

[5]) Gen. I, 20. [6]) Gen. I, 24. [7]) Gen. I, 11.

[8]) Cod. Mscr. „τῷ χρῄζειν.“ Ed. Oxoniensis: „τὸ χρῄζειν.“ R.

[9]) Anglus: „Lege: καί.“ [10]) Gen. I, 3.

[11]) Matth. VI, 10. coll. Luc. XI, 2.

[12]) Cfr. Luc. XVII, 20. 21.

λεία τοῦ θεοῦ“ κατὰ τὸν λόγον τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν „μετὰ παρατηρήσεως οὐκ ἔρχεται,[1] *οὐδὲ ἐροῦσιν· ἰδοὺ ὧδε, ἤ, ἰδοὺ ἐκεῖ·“ ἀλλὰ „ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ἡμῶν ἐστιν·“ „ἐγγὺς*[2] *γὰρ τὸ ῥῆμά ἐστι σφόδρα ἐν τῷ στόματι“ ἡμῶν, καὶ „ἐν τῇ καρδίᾳ“ ἡμῶν· δηλονότι ὁ εὐχόμενος ἐλθεῖν τὴν βασιλείαν τοῦ θεοῦ, περὶ τοῦ τὴν ἐν αὐτῷ βασιλείαν τοῦ θεοῦ ἀνατεῖλαι καὶ καρποφορῆσαι καὶ τελειωθῆναι, εὐλόγως εὔχεται· παντὸς μὲν ἁγίου ὑπὸ θεοῦ βασιλευομένου, καὶ τοῖς πνευματικοῖς νόμοις τοῦ θεοῦ πειθομένου, οἱονεὶ εὐνομουμένην πόλιν οἰκοῦντος αὐτόν·*[3] *παρόντος αὐτῷ τοῦ πατρὸς, καὶ συμβουλεύοντος*[4] *τῷ πατρὶ τοῦ Χριστοῦ ἐν τῇ τετελειωμένῃ ψυχῇ κατὰ τὸ εἰρημένον, οὗ πρὸ βραχέος ἐμνημόνευον·*[5] *„πρὸς*[6] *αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ᾽ αὐτῷ ποιησόμεθα.“ Καὶ οἶμαι νοεῖσθαι θεοῦ μὲν βασιλείαν τὴν μακαρίαν τοῦ ἡγεμονικοῦ κατάστασιν, καὶ τὸ τεταγμένον τῶν σοφῶν διαλογισμῶν· Χριστοῦ δὲ βασιλείαν, τοὺς προϊόντας σωτηρίους τοῖς ἀκούουσι λόγους, καὶ τὰ μὲν ἐπιτελούμενα ἔργα δικαιοσύνης καὶ τῶν λοιπῶν ἀρετῶν· λόγος γὰρ καὶ δικαιοσύνη ὁ υἱὸς τοῦ θεοῦ· παντὸς*[7] *ἁμαρ-*

---

[1] Anglus: „Cod. Mscr. *ἔρχηται.*“ — Item ed. Oxoniensis: „*ἔρχηται.*“

[2] Cfr. Deut. XXX, 14.

[3] Edd. Oxon. et R. in textu: „*ἑαυτόν,*“ ed. vero R. in notis: „Lego cum Bentlejo: *αὐτόν.*“

[4] Lego cum Bentlejo: „*συμβασιλεύοντος.*“ R. — Anglus: „Manifeste apparet ex sequentibus, hic legendum esse: *συμβασιλεύοντος.* Sic autem postea: *κύριος — βασιλεύων ἡμῶν μόνος σὺν τῷ Χριστοῦ αὐτοῦ.*“

[5] Anglus, qui legisse videtur: „*ἐμνημόνευε,*“ in notis: „Lege: *ἐμνημόνευσα,* scil. num. 20. et 22.“ — Cui quidem Ruaeus haec respondet: „Cod. Mscr. habet: *ἐμνημόνευον,* teste Walkero.“

[6] Cfr. ev. Joann. XIV, 23.

[7] Recte Bentlejus: „*παντὸς δὲ ἁμαρτωλοῦ,*“ ut *ἀν-*

τωλοῦ κατατυραννομένου ὑπὸ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου· ἐπεὶ πᾶς ἁμαρτωλὸς τῷ ἐνεστῶτι αἰῶνι πονηρῷ ᾠκείωται, μὴ ἐμπαρέχων ἑαυτὸν τῷ δόντι[1]) „ἑαυτὸν περὶ τῶν ἁμαρτωλῶν[2]) ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ, καὶ[3]) ἐξέληται κατὰ τὸ θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν," κατὰ τὰ ἐν τῇ πρὸς Γαλάτας εἰρημένα ἐπιστολῇ. Ὁ δὲ κατατυραννούμενος ὑπὸ τοῦ ἄρχοντος τούτου τοῦ αἰῶνος τῷ ἑκουσίῳ τῆς ἁμαρτίας, καὶ βασιλεύεται ὑπὸ τῆς ἁμαρτίας. Διόπερ κελευόμεθα ὑπὸ τοῦ Παύλου, μηκέτι ὑποτάσσεσθαι θελούσῃ τῇ ἁμαρτίᾳ βασιλεύειν ἡμῶν· καὶ προστασσόμεθά γε διὰ τούτων· „μὴ[4]) οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν[5]) σώματι, εἰς τὸ ὑπακούειν ταῖς ἐπιθυμίαις αὐτῆς." Ἀλλ' ἐρεῖ τις πρὸς ἀμφότερα, τό τε· „ἁγιασθήτω[6]) τὸ ὄνομά σου·" καὶ τό· „ἐλθέτω[7]) ἡ βασιλεία σου·" ὅτι εἰ ὁ εὐχόμενος, ἐπὶ τῷ ἐπακούεσθαι εὔχεται, καὶ ἐπακούεταί ποτε, δηλονότι ἁγιασθήσεταί ποτέ τινι, κατὰ τὰ προειρημένα, τὸ ὄνομα τοῦ θεοῦ, ᾧ καὶ ἡ βασιλεία τοῦ θεοῦ ἐνστή-

---

τίθεσις sit superiori membro: „παντὸς μὲν ἁγίου ὑπὸ θεοῦ βασιλευομένου." R. — Item Anglus.

[1]) Cfr. Galat. I, 4.

[2]) Sic recte habet Cod. Mscr. Male vero ed. Oxoniensis: „ἁμαρτιῶν." R. — Anglus: „Lege: ἁμαρτιῶν, uti exstat in edd. Galat. I, 4."

[3]) Omissa sunt verba: „καὶ ἐξέληται," in ed. Oxoniensi, licet exstent in Cod. Mscr. R. — Anglus: „Verba: καὶ ἐξέληται, ex praecedd., ut opinor, iteravit librarius; causam enim non video, cur id faceret ipse Origenes. Minus recte tamen ed. Oxon. ea silentio prorsus praetermisit."

[4]) Cfr. Rom. VI, 12.

[5]) Cod. Mscr. „ἡμῶν." Ed. Oxoniensis: „ὑμῶν." R. — Anglus: „Lege: ὑμῶν."

[6]) Matth. VI, 9. coll. Luc. XI, 2.

[7]) Matth. VI, 10. coll. Luc. XI, 2.

σεται.[1]) Εἰ δὲ ταῦτ᾽ αὐτῷ ἔσται, πῶς ἔτι καθηκόντως εὔξεται περὶ τῶν παρόντων, ἤδη ὡς μὴ παρόντων, λέγων· „ἁγιασθήτω[2]) τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου;" Εἰ δὲ τοῦτο, ἔσται ποτὲ καθῆκον μὴ λέγειν· „ἁγιασθήτω[3]) τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου." Λεκτέον πρὸς ταῦτα· ὅτι ὥσπερ ὁ εὐχόμενος λόγου γνώσεως τυχεῖν καὶ λόγου σοφίας, καθηκόντως ἀεὶ περὶ τούτων εὔξεται, ἀεὶ μὲν πλείονα θεωρήματα σοφίας καὶ γνώσεως ἐν τῷ ἐπακούεσθαι ληψόμενος, πλὴν ἐκ μέρους[4]) γινώσκων μὲν ὅσα ποτ᾽ ἂν χωρῆσαι ἐπὶ τοῦ παρόντος δυνηθῇ, τοῦ τελείου,[5]) καὶ[6]) καταργοῦντος τὸ ἐκ μέρους, τότε φανερωθησομένου,[7]) ὅτε πρόσωπον[8]) πρὸς πρόσωπον ὁ νοῦς προσβάλλει[9]) χωρὶς αἰσθήσεως τοῖς[10]) νοητοῖς· οὕτως τὸ τέλειον τοῦ ἁγιασθῆναι ἑκάστῳ ἡμῶν τὸ ὄνομα τοῦ θεοῦ, καὶ τοῦ ἐνστῆναι αὐτοῦ τὴν βασιλείαν οὐχ οἷόν τέ ἐστιν, ἐὰν μὴ ἔλθῃ[11]) καὶ τὸ περὶ τῆς γνώσεως καὶ σοφίας τέλειον, τάχα δὲ καὶ τῶν λοιπῶν ἀρετῶν. Ὁδεύομεν δὲ ἐπὶ

---

[1]) Cod. Mscr. „ἐνστήσεται." Ed. Oxoniensis: „ἐνστήσηται." R. — Anglus contra: „Cod. Mscr. ἐνστήσηται." — Cui tamen Ruaeus haec respondet: „Walkerus in Cod. Mscr. legit: ἐνστήσεται."

[2]) Matth. VI, 9. 10. coll. Luc. XI, 2.

[3]) Matth. VI, 9. 10. coll. Luc. XI, 2.

[4]) Cfr. I Cor. XIII, 9.

[5]) Cfr. I Cor. XIII, 10.

[6]) Lego cum Bentlejo: „ὡς καὶ καταργοῦντος τὸ ἐκ μέρους, τότε φανερωθησομένου, ὅτε" κτλ. R.

[7]) Edd. Oxon. et R. in textu: „φανερωθησόμενον," ed. vero R, cfr. pag. huj. not. 6., in notis: „Lego cum Bentlejo: φανερωθησομένου." — Anglus: „Lege: φανερωθησομένου, scil. τοῦ τελείου."

[8]) Cfr. I Cor. XIII, 12.

[9]) Anglus: „Lege: προσβαλεῖ."

[10]) Cod. Mscr. recte: „τοῖς νοητοῖς," male ed. Oxoniensis: „τοῦ νοητοῦ." R. — Item Anglus.

[11]) Cfr. I Cor. XIII, 10.

τὴν τελειότητα,[1]) ἐὰν τοῖς[2]) ἔμπροσθεν ἐπεκτεινόμενοι, τῶν ὄπισθεν ἐπιλανθανώμεθα. Τῇ[3]) οὖν ἐν ἡμῖν βασιλείᾳ τοῦ θεοῦ ἡ ἀκρότης ἀδιαλείπτως προκόπτουσιν ἐνστήσεται,[4]) ὅταν πληρωθῇ τὸ παρὰ τῷ ἀποστόλῳ εἰρημένον, ὅτι ὁ Χριστὸς, πάντων[5]) αὐτῷ τῶν ἐχθρῶν ὑποταγέντων, παραδώσει τὴν βασιλείαν τῷ θεῷ καὶ πατρὶ, ἵνα „ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσι.“ Διὰ τοῦτο ἀδιαλείπτως προσευχόμενοι, μετὰ διαθέσεως τῷ λόγῳ θεοποιουμένης, λέγωμεν τῷ ἐν οὐρανοῖς πατρὶ ἡμῶν· „ἁγιασθήτω[6]) τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου.“ Ἔτι δὲ περὶ τῆς τοῦ θεοῦ βασιλείας καὶ τοῦτο διαληπτέον, ὅτι, ὥσπερ οὐκ ἔστι μετοχὴ[7]) δικαιοσύνῃ καὶ ἀνομίᾳ, οὐδὲ κοινωνία φωτὶ πρὸς σκότος, οὐδὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ·[8]) οὕτως ἀσυνύπαρκτόν ἐστι τῇ βασιλείᾳ τοῦ θεοῦ βασιλεία τῆς ἁμαρτίας. Εἰ τοίνυν θέλομεν ὑπὸ θεοῦ βασιλεύεσθαι, μηδαμῶς „βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι,“[9]) μηδὲ ὑπακούωμεν τοῖς προστάγμασιν αὐτῆς, ἐπὶ τὰ ἔργα τῆς σαρκὸς καὶ τὰ ἀλλότρια τοῦ θεοῦ προκαλουμένης[10]) ἡμῶν τὴν ψυχήν· ἀλλὰ νεκρώσαντες[11]) „τὰ μέλη τὰ

---

[1]) Cod. Mscr. „τελειότητα.“ Ed. Oxon. „τελειοτέραν.“ R.

[2]) Cfr. Philipp. III, 14.

[3]) Anglus: „Lege: τῆς οὖν ἐν ἡμῖν βασιλείας τοῦ θεοῦ ἡ ἀκρότης“ κτλ. — Cui quidem Ruaeus haec recte respondet: „Nulla causa est, cur legatur: τῆς βασιλείας.“

[4]) Ed. Oxoniensis: „ἐνστήσηται.“ — Anglus: „Cod. Mscr. ἐνστήσηται.“ — Cfr. pag. 192. not. 1.

[5]) Cfr. I Cor. XV, 24. 28.

[6]) Matth. VI, 9. 10. coll. Luc. XI, 2.

[7]) Cfr. II Cor. VI, 14.

[8]) Cod. Mscr. „Βελίαρ.“ Ed. Oxoniensis: „Βελίαλ.“ R. —

[9]) Rom. VI, 12.

[10]) Cod. Mscr. „προκαλουμένης.“ Ed. Oxoniensis: „προσκαλουμένης.“ R.

[11]) Cfr. Coloss. III, 5.

ἐπὶ τῆς γῆς,“ καρποφορῶμεν τοὺς καρποὺς τοῦ πνεύματος, ἵνα ὡς ἐν παραδείσῳ πνευματικῷ κύριος[1]) ἡμῖν ἐμπεριπατῇ, βασιλεύων ἡμῶν μόνος σὺν τῷ Χριστῷ αὐτοῦ, ἐν ἡμῖν ἐκ δεξιῶν καθημένῳ ἧς εὐχόμεθα λαβεῖν δυνάμεως πνευματικῆς, καὶ καθεζομένῳ,[2]) ἕως πάντες οἱ ἐν ἡμῖν ἐχθροὶ αὐτοῦ γένωνται[3]) ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, καὶ καταργηθῇ[4]) ἀφ' ἡμῶν πᾶσα ἀρχὴ, καὶ ἐξουσία, καὶ δύναμις. Δυνατὸν γὰρ ταῦτα καθ' ἕκαστον ἡμῶν γενέσθαι, καὶ τὸν ἔσχατον[5]) ἐχθρὸν καταργηθῆναι, τὸν θάνατον, ἵνα καὶ ἐν ἡμῖν λέγηται ὑπὸ τοῦ Χριστοῦ· „ποῦ[6]) σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος;“ Ἤδη τοίνυν τὸ φθαρτὸν[7]) ἡμῶν ἐνδυσάσθω τὴν ἐν ἁγνείᾳ καὶ πάσῃ καθαρότητι ἁγιωσύνην, καὶ ἀφθαρσίαν· καὶ τὸ θνητὸν ἀμφιεσάσθω, τοῦ θανάτου κατηργημένου, τὴν πατρικὴν ἀθανασίαν· ὥστε ἡμᾶς βασιλευομένους ὑπὸ τοῦ θεοῦ ἤδη εἶναι ἐν τοῖς παλιγγενεσίας[8]) καὶ ἀναστάσεως ἀγαθοῖς.

26. „Γενηθήτω[9]) τὸ θέλημά σου, ὡς ἐν οὐρανοῖς, καὶ ἐπὶ γῆς.“ Ὁ Λουκᾶς μετὰ τό· „ἐλθέτω[10]) ἡ βασιλεία σου·“ ταῦτα παρασιωπήσας, ἔταξε· „τὸν[11]) ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν καθ' ἡμέραν.“ Διόπερ ἃς προετάξαμεν λέξεις, ὡς παρὰ μόνῳ τῷ Ματθαίῳ κειμένας, ἐξετάσωμεν ἀκολούθως τοῖς πρὸ τοῦ-

---

1) Bentlejus legit: „θεός.“ R.

2) Anglus: „Lege: καθησομένῳ. Nam de futuro loquitur.“

3) Cfr. Psalm. CX, 1. (CIX.) coll. 1 Cor. XV, 24. 25.

4) Cfr. I Cor. XV, 24. 5) Cfr. I Cor. XV, 26.

6) I Cor. XV, 55. 7) Cfr. I Cor. XV, 53. 54.

8) Cfr. Matth. XIX, 28.

9) Cfr. Matth. VI, 10. — Anglus: „Origenes supra num. 18. totam Orationem e Matthaeo describens, ita haec legit: ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, sicut in edd. exstant. Sic igitur hic quoque legendum arbitror; nam eadem certe verba repetere voluit.“

10) Luc. XI, 2. 11) Cfr. Luc. XI, 3.

των. Ἔτι ὄντες ἐπὶ γῆς οἱ εὐχόμενοι, νοοῦντες ἐν οὐρανῷ γεγονέναι τὸ θέλημα τοῦ θεοῦ παρὰ πᾶσι τοῖς οἰκείοις τῶν οὐρανῶν, εὐξώμεθα[1]) καὶ ἡμῖν τοῖς ἐπὶ γῆς ὁμοίως ἐκείνοις, κατὰ πάντα γενέσθαι τὸ θέλημα τοῦ θεοῦ· ὅπερ συμβήσεται,[2]) μηδὲν ἡμῶν παρὰ τὸ θέλημα πραττόντων αὐτοῦ. Ἐπὰν δὲ, ὡς ἐν οὐρανῷ τὸ θέλημά ἐστι τοῦ θεοῦ, καὶ ἡμῖν τοῖς ἐπὶ γῆς κατορθωθῇ, ὁμοιωθέντες τοῖς ἐν οὐρανοῖς,[3]) ἅτε φορέσαντες[4]) παραπλησίως ἐκείνοις „τὴν[5]) εἰκόνα τοῦ ἐπουρανίου," βασιλείαν οὐρανῶν κληρονομήσομεν· τῶν μεθ' ἡμᾶς ἐπὶ γῆς, καὶ ἡμῖν γενομένοις ἐν οὐρανῷ ὁμοιωθῆναι εὐχομένων. Δύναται μέντοι γε κατὰ μόνον τὸν Ματθαῖον, ἀπὸ κοινοῦ τό· „ὡς[6]) ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς·" λαμβάνεσθαι· ἵν' ᾖ τοιοῦτον τὸ προςτασσόμενον ἡμῖν ἐν τῇ εὐχῇ λέγειν· „ἁγιασθήτω[7]) τὸ ὄνομά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς· ἐλθέτω ἡ βασιλεία σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς·" τό[8]) τε γὰρ ὄνομα τοῦ θεοῦ ἡγιάσθη παρὰ τοῖς ἐν οὐρανῷ, καὶ ἐνέστη αὐτοῖς ἡ τοῦ θεοῦ βασιλεία, γεγένηταί τε ἐν αὐτοῖς τὸ θέλημα τοῦ θεοῦ· ἅπερ πάντα ἡμῖν λείπει τοῖς ἐπὶ γῆς, δυνάμενα ἡμῖν ὑπαρχθῆναι ἐν τῷ ἀξίους ἑαυτοὺς κατασκευάζειν ἐπηκόου περὶ τούτων πάντων τοῦ

---

[1]) Forte legendum: „εὔξόμεθα." R.

[2]) Cod. Mscr. „συμβήσεται." Ed. Oxoniensis: „συμβήσηται." R. — Anglus: „Cod. Mscr. συμβήσηται." — Cui tamen Ruaeus haec respondet: „Walkerus in Cod. Mscr. legit: συμβήσεται."

[3]) Anglus: „Lege: οὐρανῷ. Ita enim in hac sectione decies repetit: ἐν οὐρανῷ, atque non semel: τοῖς ἐν οὐρανῷ."

[4]) Cod. Mscr. „φορέσαντες." Ed. Oxoniensis: „φορήσαντες." R.

[5]) Cfr. I Cor. XV, 49. [6]) Cfr. Matth. VI, 10.

[7]) Cfr. Matth. VI, 9. 10. coll. Luc. XI, 2.

[8]) Ed. Oxoniensis: „τότε."

θεοῦ τυχεῖν. Ζητήσας[1]) δ' ἄν τις διὰ τό· „γενηθήτω[2]) τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς·" λέγων· πῶς γεγένηται[3]) τὸ θέλημα τοῦ θεοῦ ἐν οὐρανῷ, ὅπου ἐστὶ „τὰ[4]) πνευματικὰ τῆς πονηρίας," δι'[5]) ἃ μεθυσθήσεται[6]) ἡ μάχαιρα τοῦ θεοῦ καὶ ἐν τῷ οὐρανῷ; Εἰ δὲ οὕτως εὐχόμεθα γενηθῆναι ἐπὶ τῆς γῆς τὸ θέλημα τοῦ θεοῦ, ὥσπερ γίνεται ἐν οὐρανῷ, μήποτε λεληθότως[7]) εὐξώμεθα μένειν ἐπὶ γῆς καὶ τὰ ἐναντία, ὅπου ἀπ' οὐρανοῦ καὶ ταῦτα ἔρχεται,[8]) πολλῶν φαύλων γινομένων ἐπὶ γῆς διὰ[9]) τὰ ἡττῶντα πνευματικὰ[10]) τῆς πονηρίας ὄντα ἐν τοῖς ἐπουρανίοις; Ὁ μὲν οὖν τις ἀλληγορῶν τὸν οὐρανὸν, καὶ φάσκων αὐτὸν εἶναι τὸν Χριστὸν, γῆν δὲ τὴν ἐκκλησίαν· — τίς γὰρ οὕτως[11]) ἄξιος θρόνος τοῦ πατρὸς ὡς ὁ Χριστός; Ποῖον δὲ ὑποπόδιον τῶν ποδῶν τοῦ θεοῦ ὡς ἡ ἐκκλησία; —

---

[1]) Lego cum Bentlejo: „ζητήσαι." R.

[2]) Cfr. Matth. VI, 10.

[3]) Cod. Mscr. „γεγένηται." Ed. Oxoniensis: „γένηται." R. [4]) Cfr. Ephes. VI, 12.

[5]) Cod. Mscr. „δι' ἅ." Ed. Oxoniensis: „διὰ ἅ." R.

[6]) Cfr. Jesai. XXXIV, 5. — Anglus: „Cod. Mscr. μεθυσθήσηται."

[7]) Cod. Mscr. „λεληθότως." Ed. Oxoniensis: „λεληθότες." R.

[8]) Ed. Oxoniensis: „ἔρχηται." — Anglus: „Cod. Mscr. ἔρχηται."

[9]) Bentlejus legit: „διὰ τὸ ἡττῆσθαι τῶν πνευματικῶν τῆς πονηρίας ὄντων ἐν τοῖς ἐπουρανίοις." R.

[10]) Cfr. Ephes. VI, 12.

[11]) Cod. Mscr. „οὕτως ἄξιος θρόνος." Ed. Oxoniensis: „οὕτω (οὐράνιος) θρόνος." R. — Anglus, qui legit: „οὐράνιος," in notis: „In Cod. deleta paene est haec vox; sed e vestigiis fuisse apparet: οὐνιος, i. e. οὐράνιος. Quod cum loco aptum sit, nos reponere non dubitavimus; etsi non incommode legi hic possit: οὕτω κυρίως θρόνος, sicut supra num 23." — Cui quidem Ruaeus haec respondet: „Walkerus in Cod. Mscr. legit: ἄξιος, non autem: οὐράνιος."

εὐχερῶς λύσει τὰ ζητούμενα, λέγων εὔχεσθαι δεῖν ἕκαστον τῶν ἀπὸ τῆς ἐκκλησίας οὕτω χωρῆσαι τὸ πατρικὸν θέλημα, ὃν τρόπον Χριστὸς κεχώρηκεν, ὁ ἐλθὼν ποιῆσαι τὸ θέλημα[1]) *αὐτοῦ*[2]) *τοῦ πατρὸς, καὶ πᾶν αὐτὸ τελειώσας. Δυνατὸν γὰρ κολληθέντα*[3]) *αὐτῷ, ἓν*[4]) *γενέσθαι πνεῦμα σὺν αὐτῷ, διὰ τοῦτο χωροῦντα τὸ θέλημα,*[5]) *ἵν' ὡς*[6]) *τετέλεσται ἐν οὐρανῷ, οὕτω τελεσθῇ καὶ ἐπὶ γῆς· „ὁ*[7]) *κολλώμενος γὰρ τῷ κυρίῳ, κατὰ τὸν Παῦλον, ἓν πνεῦμά ἐστι.“ Καὶ οἶμαι, ὅτι οὐκ εὐκαταφρόνητος ἔσται αὕτη ἡ ἑρμηνεία τῷ ἐπιμελέστερον κατανοοῦντι αὐτήν. Ἀντιλέγων δέ τις αὐτῇ, παραθήσεται*[8]) *τὸ ἐπὶ τέλει τούτου τοῦ εὐαγγελίου μετὰ τὴν ἀνάστασιν ὑπὸ τοῦ κυρίου εἰρημένον πρὸς*

---

[1]) Cfr. ev. Joann. IV, 34.

[2]) Anglus: „Haec, ut opinor, invertit librarius pro: *τοῦ πατρὸς αὐτοῦ.*“

[3]) Edd. Oxon. et R. in textu: „*κωλύεσθαι αὐτῷ, ἓν γενέσθαι,*“ ed. vero R. in notis: „Lego cum Bentlejo: *κολλᾶσθαι αὐτῷ, καὶ ἓν γενέσθαι.*“ — Anglus, qui legit: „*κολληθέντα,*“ in notis: „In Cod. abbreviate sic scribitur: *κωλῦθ' τ'*, unde ed. Oxon. exhibuit: *κωλύεσθαι.* Quod quidem verisimile putarem, si non loco ineptum plane esset, et ex penacuto mihi appareret, id noluisse scribam. Quocirca, auctore Apostolo, cujus hic citantur verba, hanc ego maculam tollere non dubitavi, et legere: *κολληθέντα.* Ita vero ipse Orig. contra Cels. lib. II. num. 9. *κολληθεὶς αὐτῷ, ἕν ἐστι πνεῦμα πρὸς τὸν κύριον.* Et in Matth. Tom. 15. num. 24. *ἓν γὰρ οὕτως τῷ λόγῳ γίνεται, παντὸς μᾶλλον τῶν, διὰ τὸ κολλᾶσθαι τῷ κυρίῳ, γινομένων ἓν πνεῦμα πρὸς αὐτόν.*“

[4]) Cfr. I Cor. VI, 17.

[5]) Anglus: „Deesse videtur: *τοῦ πατρός.*“

[6]) Cod. Mscr. „*ὡς τετέλεσται,*“ ed. Oxoniensis: „*ὥστε τετέλεσται.*“ R.

[7]) Cfr. I Cor. VI, 17.

[8]) Cod. Mscr. „*παραθήσεται.*“ Ed. Oxoniensis: „*παραθήσηται.*“ R. — Anglus: „Cod. Mscr. *παραθήσηται.*“ — Cui tamen Ruaeus haec respondet: „Walkerus in Cod. Mscr. legit: *παραθήσεται.*“

τοὺς ἕνδεκα μαθητάς· „ἐδόθη [1]) μοι πᾶσα ἐξουσία, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς.“ Ἔχων [2]) γὰρ ἐξουσίαν [3]) τῶν ἐν οὐρανῷ, φησὶ προσειληφέναι τὴν ἐπὶ γῆς, τῶν μὲν ἐν οὐρανῷ, καὶ πρότερον ὑπὸ τοῦ λόγου πεφωτισμένων· ἐπὶ δὲ τῇ συντελείᾳ τοῦ αἰῶνος καὶ τῶν ἐπὶ γῆς διὰ τὴν δεδομένην ἐξουσίαν τῷ υἱῷ τοῦ θεοῦ, μιμουμένων τὰ, ὧν ἐξουσίαν ὁ σωτὴρ ἔλαβεν, ἐν οὐρανῷ κατορθούμενα. [4]) Οἱονεὶ οὖν διὰ τῶν εὐχῶν συνεργοὺς πρὸς τὸν πατέρα βούλεται λαβεῖν τοὺς μαθητευομένους αὐτῷ, ἵν' ὁμοίως τοῖς ἐν οὐρανῷ ὑποτεταγμένοις ἀληθείᾳ καὶ λόγῳ τὰ [5]) ἐπὶ γῆς διορθωθέντα, τὴν [6]) ἐξουσίαν ἣν ἔλαβεν ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, εἰς τέλος ἀγάγῃ τῶν ἐξουσιαζομένων μακάριον. Ὁ δὲ θέλων οὐρανὸν εἶναι τὸν σωτῆρα, τὴν δὲ γῆν ἐκκλησίαν· τὸν πρωτότοκον πάσης κτίσεως, ᾧ ὁ πατὴρ ὡς θρόνῳ ἐπαναπαύεται, φάσκων εἶναι τὸν οὐρανὸν, εὑρεῖν [7]) τὸν ἄνθρωπον ὃν ἐνεδύσατο οἰκειωθέντα ἐκείνῃ τῇ δυνά-

---

[1]) Cfr. Matth. XXVIII, 18.

[2]) Cod. Mscr. „ἔχων.“ Ed. Oxoniensis: „ἔχειν.“ R.

[3]) Bentlejus legit: „ἐξουσίαν τὴν ἐν οὐρανῷ, φησὶ προσειληφέναι τὴν ἐπὶ γῆς,“ vel utrobique: „ἐξουσίαν τὴν τῶν ἐν οὐρανῷ, φησὶ προσειληφέναι τὴν τῶν ἐπὶ γῆς.“ R.

[4]) Edd. Oxon. et R. in textu: „κατορθουμένων,“ ed. vero R. in notis: „Lego cum Bentlejo: κατορθούμενα.“

[5]) Anglus: „Lege: τῶν διορθωθέντων, quod flagitat plane syntaxis.“ — Cui quidem Ruaeus haec respondet: „Non id flagitabit syntaxis, si in seqq. pro: τὴν ἐξουσίαν, legeris: τῇ ἐξουσίᾳ.“

[6]) Lego: „τῇ ἐξουσίᾳ.“ R. — Equidem nihil mutaverim.

[7]) Lego cum Bentlejo: „ἐρεῖ τὸν ἄνθρωπον ὃν ἐνεδύσατο, οἰκειωθέντα ἐκείνου τῇ δυνάμει.“ R. — Anglus: „Lege: εὗρεν. Hoc enim tum sententia, tum verborum constructio exigit: scil: εὗρεν τὸν ἄνθρωπον — λέγειν.“ — Equidem a partibus Ruaei steterim.

μει, διὰ τὸ τεταπεινωκέναι[1]) ἑαυτὸν, καὶ[2]) γενόμενον ὑπήκοον μέχρι θανάτου, λέγειν μετὰ τὴν ἀνάστασιν τό· „ἐδόθη[3]) μοι πᾶσα ἐξουσία, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς· λαβόντος τοῦ κατὰ τὸν σωτῆρα ἀνθρώπου τὴν ἐξουσίαν τῶν ἐν οὐρανῷ, οἷον τῶν ἐνυπαρχόντων τῷ μονογενεῖ· ἵνα αὐτῷ κοινωνῇ, ἀνακιρνάμενος[4]) ἐκείνου τῇ θεότητι, καὶ ἑνούμενος αὐτῷ. Μὴ λύοντος[5]) δέ πω τοῦ δευτέρου τὰ ἠπορημένα περὶ τοῦ, πῶς τὸ θέλημα τοῦ θεοῦ ἐστιν ἐν οὐρανῷ, τῶν ἐν[6]) τοῖς ἐπουρανίοις πνευματικῶν τῆς πονηρίας ἀντιπαλαιόντων τοῖς ἐπὶ γῆς, ἐκεῖθεν ἐνέσται λύειν οὕτως τὸ ζητούμενον· ὅτι ὥσπερ οὐ διὰ τὸν τόπον, ἀλλὰ διὰ τὴν προαίρεσιν, ὁ ἔτι ὢν ἐπὶ γῆς, πολίτευμα[7]) ἔχων ἐν οὐρανοῖς, καὶ θησαυρίζων[8]) ἐν οὐρανῷ, τὴν καρδίαν ἔχων ἐν οὐρανῷ, τὴν εἰκόνα[9]) τοῦ ἐπουρανίου φορῶν, οὐκέτι ἐστὶν ἐκ τῆς γῆς, οὐδὲ τοῦ κάτω κόσμου, ἀλλ' ἐκ τοῦ οὐρανοῦ, καὶ τοῦ κρείττονος τούτου οὐρανίου κόσμου· οὕτως καὶ τὰ ἔτι ἐν τοῖς ἐπουρανίοις[10]) διατρίβοντα πνευματικὰ τῆς πονηρίας, τὸ πολίτευμα ἔχοντα ἐπὶ γῆς, καὶ δι' ὧν

---

[1]) Cfr. Philipp. II, 8. [2]) Anglus: „Dele: καί."

[3]) Cfr. Matth. XXVIII, 18.

[4]) Ed. Oxon. in textu: „ἀνακοινάμενος," in notis vero vers. lat. additis: „Cod. Mscr. ἀνακοινάμενος. Lege: ἀνακιρνάμενος." — Ed. R. ut nos in textu, in notis: „Cod. Mscr. recte: ἀνακιρνάμενος." — Anglus: „In Cod. perperam scribitur: ἀνακοινάμενος, pro: ἀνακιρνάμενος, quod ipsa postulat sententia." — Ad quae quidem Ruaeus iterum respondet: „Walkerus in Cod. Mscr. legit: ἀνακιρνάμενος."

[5]) Cod. Mscr. recte: „μὴ λύοντος." Ed. Oxoniensis: „μὴ λύοντες." R.

[6]) Cfr. Ephes. VI, 12. [7]) Cfr. Philipp. III, 20.

[8]) Cfr. Matth. VI, 20. [9]) Cfr. 1 Cor. XV, 49.

[10]) Edd. Oxon. et R. in textu: „οὐρανίοις," ed. vero R. in notis: „Lege cum Bentlejo vel: οὐρανοῖς, vel: ἐπουρανίοις." — Anglus: „Lege: ἐπουρανίοις, nam Apostoli verba supra citata repetit." — Cfr. Ephes. VI, 12.

ἀντιπαλαίει ἐπιβουλεύοντα ἀνθρώποις, θησαυρίζοντα[1]) ἐπὶ γῆς, εἰκόνα[2]) τοῦ χοϊκοῦ φοροῦντα, ὅστις „ἐστὶν ἀρχὴ[3]) πλάσματος κυρίου, πεποιημένου[4]) ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων,“ οὐκ ἔστιν ἐπουράνια, οὐδὲ ἐν τοῖς οὐρανοῖς διὰ τὴν μοχθηρὰν διάθεσιν οἰκεῖ. Ἐὰν οὖν λέγηται· „γενηθήτω[5]) τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς·“ ἐκείνους οὐδὲ ἐν οὐρανῷ εἶναι λογιστέον, τῷ φρονήματι μετὰ τοῦ πεσόντος[6]) ἐξ οὐρανοῦ δίκην ἀστραπῆς πεπτωκότας. Καὶ τάχα λέγων δεῖν εὔχεσθαι ὁ σωτὴρ ἡμῶν, ἵνα γένηται τὸ θέλημα τοῦ πατρὸς ὡς ἐν οὐρανῷ, οὕτως καὶ ἐπὶ γῆς, οὐ πάντως περὶ τῶν ἐν τόπῳ τῆς γῆς κελεύει γίνεσθαι τὰς εὐχὰς, ὅπως ὁμοιωθῶσι τοῖς ἐν τόπῳ οὖσιν οὐρανίῳ· ἀλλ᾽ ἔστιν αὐτῷ ἡ πρόσταξις τῆς εὐχῆς, βουλομένῳ ὁμοιωθῆναι πάντα τὰ ἐπὶ γῆς, τουτέστι τὰ χείρονα καὶ τοῖς γηΐνοις ᾠκειωμένα, τοῖς κρείττοσι καὶ ἔχουσι τὸ πολίτευμα[7]) ἐν οὐρανοῖς, πᾶσι γενομένοις οὐρανῷ. Ὁ μὲν γὰρ ἁμαρτάνων, ὅπου[8]) ποτ᾽ ἂν ᾖ, ἐστὶ γῆ, εἰς τὴν συγγενῆ, ἐὰν μὴ μετανοῇ, ἐσόμενός πῃ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ, καὶ μὴ παρακούων τῶν σωτηρίων πνευματικῶν νόμων, οὐρανός ἐστιν. Εἴτε

---

[1]) Cfr. Matth. VI, 19. [2]) Cfr. I Cor. XV, 49.

[3]) Cfr. Job. XL, 19.

[4]) Anglus: „Lege: πεποιημένος, nam refertur ad ὅστις.“ [5]) Cfr. Matth. VI, 10.

[6]) Cfr. Luc. X, 18. [7]) Cfr. Philipp. III, 20.

[8]) Edd. Oxon. et R. in textu: „ὅπο ποτ᾽ ἂν ἐστιν ἡ γῆ,“ ed. vero R. in notis: „Lege cum Bentlejo: ὅπο ποτ᾽ ἂν ᾖ, ἐστὶν ἡ γῆ.“ — Anglus: „Lege: ἐστὶ γῆ, i. e. γήϊνος, non: ἡ γῆ, *ipsa terra*. Ita vero in sequentibus: εἴτε οὖν γῆ ἔτι ἐσμὲν διὰ τὴν ἁμαρτίαν, et: εἴτε μὴ γῆ, ἀλλ᾽ οὐρανὸς ἤδη λελογίσμεθα, et: ὥστε μηκέτι ποτὲ εἶναι γῆν.“

οὖν γῆ ἔτι ἐσμὲν διὰ τὴν ἁμαρτίαν, εὐχώμεθα[1]) καὶ ἐφ' ἡμᾶς οὕτω τὸ[2]) θέλημα τοῦ θεοῦ διατεῖναι διορθωτικῶς, ὥσπερ ἔφθακεν ἐπὶ τοὺς πρὸ ἡμῶν γενομένους οὐρανὸν, ἢ ὄντας οὐρανόν· εἴτε μὴ γῆ, ἀλλ' οὐρανὸς ἤδη λελογίσμεθα τῷ θεῷ, ἀξιώσωμεν, ἵνα καὶ ἐπὶ τῆς γῆς ὁμοίως τῷ οὐρανῷ, λέγω δὲ ἐπὶ τῶν χειρόνων, πληρωθῇ τὸ θέλημα τοῦ θεοῦ εἰς τὴν, ἵν' οὕτως εἴπω, οὐρανοποίησιν αὐτῆς, ὥστε μηκέτι ποτὲ εἶναι γῆν, ἀλλὰ πάντα γενέσθαι οὐρανόν. Ἐὰν γὰρ ὡς ἐν οὐρανῷ, κατὰ τὰ ἡρμηνευμένα, τὸ θέλημα τοῦ θεοῦ οὕτω γένηται[3]) καὶ ἐπὶ γῆς, ἡ γῆ οὐ μενεῖ[4]) γῆ· ὡς εἰ λέγοιμι ἐπὶ ἄλλου παραδείγματος σαφέστερον· ἐὰν, ὥσπερ γεγένηται τὸ θέλημα τοῦ θεοῦ ἐπὶ τοὺς σώφρονας, οὕτω γένηται καὶ ἐπὶ τοὺς ἀκολάστους, οἱ ἀκόλαστοι σώφρονες ἔσονται· ἢ, ὡς γεγένηται τὸ θέλημα τοῦ θεοῦ ἐπὶ τοὺς δικαίους,[5]) οὕτω γένηται καὶ ἐπὶ τοὺς ἀδίκους, οἱ ἄδικοι δίκαιοι ἔσονται. Διὰ τοῦτο ἐὰν, ὡς ἐν οὐρανῷ γεγένηται τὸ θέλημα τοῦ θεοῦ, γένηται καὶ ἐπὶ γῆς, ἐσόμεθα πάντες οὐρανός· τῆς μὴ ὠφελούσης[6]) σαρκὸς, καὶ συγγενοῦς αὐτῇ αἵματος, μὴ δυναμένων

---

1) Edd. Oxon. et Ruaei in textu: „εὐχόμεθα," ed. vero R. in notis: „Lego: εὐχώμεθα." — Anglus: „Lege: εὐχώμεθα, sicut mox sequitur: ἀξιώσωμεν."

2) Edd. Oxon. et Ruaei: „τὸ θέλημα διατεῖναι." — Anglus: „Lege: τὸ θέλημα τοῦ θεοῦ διατεῖναι, uti in praecedd. et seqq. legitur."

3) Cod. Mscr. „γένηται." Ed. Oxoniensis: „γίνηται." R.

4) Ed. Oxoniensis: „μένει." — Anglus: „Lege: μενεῖ, nam de futuro loquitur. Atque ita paulo post: σώφρονες ἔσονται, et: δίκαιοι ἔσονται, et: ἐσόμεθα πάντες οὐρανός."

5) Edd. Oxon. et Ruaei: „δικαίους, καὶ ἐπὶ τοὺς ἀδίκους." — Anglus: „Lege: δικαίους, οὕτω γένηται καὶ ἐπὶ τοὺς ἀδίκους, sicut in antecedentibus; haec enim scribae tantum incuria hic omissa videntur."

6) Cfr. ev. Joann. VI, 64. coll. 1 Cor. XV, 50.

κληρονομεῖν βασιλείαν θεοῦ· κληρονομεῖν δ' ἂν λεχθησομένων,[1]) *ἐὰν μεταβάλωσιν ἀπὸ σαρκὸς, καὶ γῆς, καὶ χοῦ, καὶ αἵματος, ἐπὶ τὴν οὐράνιον οὐσίαν.*

27. „*Τὸν*[2]) *ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·*" *ἢ ὡς ὁ Λουκᾶς·* „*τὸν*[3]) *ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν καθ' ἡμέραν.*" *Ἐπεί τινες ὑπολαμβάνουσι περὶ τοῦ σωματικοῦ ἄρτου λέγεσθαι εὔχεσθαι ἡμᾶς, ἄξιον αὐτῶν τὴν ψευδοδοξίαν διὰ τούτων περιελόντας, παραστῆσαι τὸ ἀληθὲς περὶ τοῦ ἐπιουσίου ἄρτου. Λεκτέον οὖν πρὸς αὐτοὺς, ὅτι πῶς ὁ λέγων δεῖν αἰτεῖν ἐπουράνια καὶ μεγάλα, οὔτε ἐπουρανίου ὄντος τοῦ εἰς τὴν σάρκα ἡμῶν ἀναδιδομένου ἄρτου, οὔτε μεγάλου αἰτήματος τοῦ περὶ τούτου ἀξιοῦν, ὡσπερεὶ κατ' αὐτοὺς ἐπιλαθόμενος ὧν ἐδίδαξε, προστάττει περὶ ἐπιγείου καὶ μικροῦ ἔντευξιν ἀναφέρειν τῷ πατρί. Ἡμεῖς δὲ ἑπόμενοι αὐτῷ διδασκάλῳ, διδάσκοντι τὰ περὶ τοῦ ἄρτου, διὰ πλειόνων ταῦτα παραθησόμεθα. Φησὶν ἐν τῷ κατὰ Ἰωάννην,*[4]) *πρὸς ἐληλυθότας εἰς Καφαρναοὺμ*[5]) *ζητεῖν αὐτόν·* „*Ἀμὴν,*[6]) *ἀμὴν λέγω ὑμῖν· ζητεῖτέ*[7]) *με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε.*" *Ὁ γὰρ φα-*

---

1) Bentlejus legit: „*δεχθησομένων.*" R.

2) Matth. VI, 11. 3) Cfr. Luc. XI, 3.

4) Cod. Mscr. „*Ἰωάννην, πρὸς ἐληλυθότας εἰς Καφαρναούμ.*" Ed. Oxoniensis: „*Ἰωάννην, προσεληλυθότας εἰς Καπερναούμ.*" R.

5) Anglus: „Ita Cod. Mscr. recte. Hoc autem, tanquam erratum, mutavit ed. Oxon. in: *Καπερναούμ*, sicut in Evangeliis passim legitur. Atqui non hic solum Origenes, sed et aliis paene centum in locis habet: *Καφαρναούμ*, nimirum Comm. in Matth. Tom. 13. num. 11. et 14., et Tom. 14. num. 15., et in Joann. Tom. 10. 11. 18. et 31., e quibus locis ne unum quidem usquam notavit Millius."

6) Ev. Joann. VI, 26.

7) Anglus, qui legit: „*ζητεῖτε,*" in notis: „Lege: *ζητεῖτέ με*, sicut exstat in edd. Joann. VI, 26.

γὼν ἐκ τῶν ὑπὸ Ἰησοῦ εὐλογηθέντων ἄρτων, καὶ πληρωθεὶς αὐτῶν, μᾶλλον ζητεῖ καταλαβεῖν ἀκριβέστερον τὸν υἱὸν τοῦ θεοῦ, καὶ σπεύδει πρὸς αὐτόν. Διόπερ καλῶς προστάττει, λέγων· „ἐργάζεσθε[1]) μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει.“ Πρὸς ταῦτα δὲ πυθομένων τῶν ἀκουσάντων, καὶ λεγόντων· „τί[2]) ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύητε[3]) εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.“ „Ἀπέστειλε[4]) δὲ ὁ θεὸς τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς·“ ὡς ἐν ψαλμοῖς γέγραπται, δηλονότι τοὺς νενοσηκότας· ᾧ λόγῳ οἱ πιστεύοντες ἐργάζονται τὰ ἔργα τοῦ θεοῦ, ὄντα βρῶσιν μένουσαν εἰς ζωὴν αἰώνιον. Καὶ „ὁ[5]) πατήρ δέ μου, φησὶ, δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν· ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.“ Ἄρτος δὲ ἀληθινός ἐστιν, ὁ τὸν ἀληθινὸν τρέφων ἄνθρωπον, τὸν κατ᾽[6]) εἰκόνα τοῦ θεοῦ πεποιημένον, ᾧ ὁ τραφεὶς, καὶ καθ᾽ ὁμοίωσιν τοῦ κτίσαντος γίνεται. Τί δὲ λόγου τῇ ψυχῇ τροφιμώτερον; ἢ τί τῆς σοφίας τοῦ θεοῦ τῷ νῷ τοῦ χωροῦντος αὐτὴν τιμιώτερον; Τί δὲ ἀληθείας τῇ λογικῇ φύσει καταλληλότερον; Ἐὰν δέ τις πρὸς ταῦτα

---

[1]) Ev. Joann. VI, 27. — Edd. Oxon. et R. in textu: „ἐργάζεσθαι,“ ed. vero R. in notis: „Lege: ἐργάζεσθε.“ — Anglus, qui legit: „ἐργάζεσθε,“ in notis: „Cod. Mscr. ἐργάζεσθαι.“

[2]) Cfr. ev. Joann. VI, 28. 29.

[3]) Edd. Oxon. et R. in textu: „πιστεύηται,“ ed. vero R. in notis: „Lege: πιστεύητε.“ — Anglus, qui legit: „πιστεύητε,“ in notis: „Cod. Mscr. πιστεύηται.“

[4]) Cfr. Psalm. CVII, 20. (CVI.)

[5]) Cfr. ev. Joann. VI, 32. 33.

[6]) Cod. Mscr. „κατ᾽ εἰκόνα.“ Ed. Oxoniensis: „κατὰ εἰκόνα.“ R. — Cfr. Coloss. III, 10.

ἀνθυποφέρῃ, λέγων, μὴ ἂν αὐτὸν διδάσκειν, ὡς[1]) περὶ ἑτέρου ὄντος ἄρτου τοῦ ἐπιουσίου αἰτεῖν, ἀκουέτω, ὅτι καὶ ἐν τῷ κατὰ Ἰωάννην ὅπου μὲν ὡς περὶ ἑτέρου τινὸς παρ' αὐτὸν διαλέγεται,[2]) ὅπου[3]) δὲ, ὡς αὐτὸς ὁ ἄρτος ὤν· ὡς μὲν περὶ ἑτέρου διὰ τούτων· „Μωϋσῆς[4]) δέδωκεν ὑμῖν[5]) τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, οὐ τὸν ἀληθινόν· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν·" ὡς δὲ περὶ αὐτοῦ φησι πρὸς εἰπόντας αὐτῷ· „πάντοτε[6]) δὸς ἡμῖν τὸν ἄρτον τοῦτον·" „ἐγώ[7]) εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρὸς μὲ, οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ διψήσῃ πώποτε." Καὶ μετ' ὀλίγα· „ἐγώ[8]) εἰμι ὁ ἄρτος ὁ[9]) ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις

---

[1]) Anglus: „Desiderari videtur: *παρ' αὐτόν*, ut sit: *ὡς περὶ ἑτέρου παρ' αὐτὸν ὄντος ἄρτου κτλ.*, sicut in responso mox repetit. Dixerat scil. Origenes, panem *ἐπιούσιον* esse ipsum Christum, et praeterea esse Dei verbum, quo anima nutritur: at his, inquit, regerat quispiam, qui per panem hunc Christum solum vult intelligi, eum non ita petere nos docere, quasi alius praeter se ipsum esset panis *ἐπιούσιος*."

[2]) Sic habet Cod. Mscr. Editio autem Oxoniensis: „*διαλέγηται*." R. — Anglus: „Cod. Mscr. *διαλέγηται*." — Cui tamen Ruaeus haec iterum respondet: „Walkerus in Cod. Mscr. legit: *διαλέγεται*."

[3]) Sic habet Cod. Mscr. Editio autem Oxoniensis: „*ὅπου δή*." R.

[4]) Cfr. ev. Joann. VI, 32.

[5]) Anglus: „Cod. Mscr. male: *ἡμῖν*."

[6]) Ev. Joann. VI, 34. [7]) Ev. Joann. VI, 35.

[8]) Cfr. ev. Joann. VI, 51.

[9]) Desunt verba: „*ὁ ζῶν*," in edd. Oxon. et Ruaei, Anglus vero recte: „Lege: *ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς*, uti legitur in loco citato, Joann. VI, 51. Nam Origenem illa: *ὁ ζῶν*, hic non omisisse, apparet ex sequentibus: *τὸν ζῶντα ἄρτον — αἰτῶμεν*, et infra: *ὁ ζῶν καὶ ἐξ οὐρανοῦ καταβεβηκὼς ἄρτος*, in quibus ad ea plane, tanquam ante citata, respicit: quae tamen si de hoc loco eximas, nusquam in antegressis reperientur. Sic

φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσει [1]) εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.“ Ἐπεὶ δὲ πᾶσα τροφὴ ἄρτος λέγεται [2]) κατὰ τὴν γραφὴν, ὡς δῆλον ἐκ τοῦ περὶ Μωϋσέως ἀναγεγράφθαι· „ἄρτον [3]) οὐκ ἔφαγε τεσσαράκοντα ἡμέρας, καὶ ὕδωρ οὐκ ἔπιε·“ ποικίλος δέ ἐστι καὶ διάφορος ὁ τρόφιμος λόγος, οὐ πάντων δυναμένων τῇ στεῤῥότητι καὶ εὐτονίᾳ τρέφεσθαι τῶν θείων μαθημάτων· διὰ τοῦτο βουλόμενος παραστῆσαι ἀθλητικὴν τελειοτέροις ἁρμόζουσαν τροφὴν, φησίν· „ὁ [4]) ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.“ Καὶ μετ᾽ ὀλίγα· „ἐὰν [5]) μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε [6]) ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον· καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἡ γὰρ σάρξ μου ἀληθής [7]) ἐστι βρῶσις, καὶ τὸ [8]) αἷμά μου ἀληθής ἐστι πόσις. Ὁ τρώγων

---

autem haec verba recitat ipse Origen. in Joann. Tom. 10. num. 13. ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.“

[1]) Cod. Mscr. „ζήσει.“ Editio Oxoniensis: „ζήσεται.“ R. — Anglus: „Sic, scil. ζήσει, etiam habet Origen. in Joann. Tom. 10. num. 13., at in edd. Joann. VI, 51. legitur: ζήσεται, sicut et legit ipse Origen. in Matth. Tom. 11. num. 14.

[2]) Cod. Mscr. „λέγεται.“ Ed. Oxoniensis: „λέγηται.“ R. — Anglus: „Cod. Mscr. λέγηται.“

[3]) Cfr. Deut. IX, 9. [4]) Ev. Joann. VI, 51.

[5]) Cfr. ev. Joann. VI, 53—57.

[6]) Anglus: „Cod. Mscr. ἔχητε.“

[7]) Anglus: „Sic etiam legit Orig. in Joann. Tom. 10. num. 13. Attamen vera, ut opinor, lectio est: ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ — ἀληθῶς ἐστι πόσις, uti in edd. exstat Joann. VI, 55., atque ita legit ipse Origen. in Matth. Tom. 16. num. 7.“

[8]) Edd. Oxon. et R. in textu. „τὸ πόμα μου,“ eae-

μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν[1]) ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσει[2]) δι' ἐμέ.“ Αὕτη δέ[3]) ἐστιν ἡ ἀληθὴς βρῶσις, σὰρξ Χριστοῦ, ἥτις λόγος οὖσα, γέγονε σὰρξ κατὰ τὸ εἰρημένον· „καὶ[4]) ὁ λόγος σὰρξ ἐγένετο.“ Ὅτε δὲ τρώγωμεν[5]) αὐτὸν, καὶ[6]) „ἐσκήνωσεν ἐν ἡμῖν.“ Ἐπὰν δὲ ἀναδιδῶται, πληροῦται τό· „ἐθεασάμεθα[7]) τὴν δόξαν αὐτοῦ.“ „Οὗτός[8]) ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν[9]) τὸ μάννα,

---

dem vero in notis: „Sic. Cod. Mscr., non: τὸ αἷμά μου, ut textus vulgatus.“ — Anglus: „Habet hic quidem Cod. Mscr. πόμα, quod merum est librarii sphalma. Nos igitur ex Codd. omnium consensu loco ejus inserere non dubitavimus: αἷμα, ex Joann. VI, 55., sicut et legit ipse Origen. in Joann. Tom. 10. num. 13. et in Matth. Tom. 16. num. 7.“

1) Mallet Bentlejus: „ἐν ἐμοὶ μενεῖ.“ R.

2) Cod. Mscr. „ζήσει.“ Ed. Oxoniensis: „ζήσεται.“ R.

3) Anglus: „Lege: δή.“ 4) Ev. Joann. I, 14.

5) Edd. Oxon. et R. in textu: „πίωμεν αὐτόν,“ ed. vero R. in notis: „Legit Bentlejus: φάγωμεν αὐτόν, vel: φάγωμεν αὐτήν.“ — Anglus: „Hoc, scil. πίωμεν, non convenit carni Christi, de qua nunc loquitur Origenes. Mihi igitur sic legendum videtur: Ὅταν δὲ τρώγωμεν αὐτόν, ut respiciat ad verba supra citata: ὁ τρώγων μου τὴν σάρκα.“

6) Ev. Joann. I, 14. 7) Ev. Joann. I, 14.

8) Cfr. ev. Joann. VI, 58.

9) Desunt verba: „ὑμῶν τὸ μάννα,“ in edd. Oxon. et Ruaei. Quocirca recte, ut videtur, Anglus: „Desunt hic: ὑμῶν τὸ μάννα, quae exstant Joann. VI, 58., sicut et desunt: τὸ μάννα, in Codd. Cantabrig. et Colbert. ap. Millium. Quibus ille quidem Codd. adeo confidit, ut illa: τὸ μάννα, quae in editis habentur, pro insititiis rejicienda arbitretur. (Prolegom. sect. 1493.) Nos vero viri clarissimi cum diligentiam hic requirimus, qui hunc Orig. locum sibi suffragantem non notaverit, tum judicium nimis temere factum improbamus, quod duorum Codd. fide non ita certa, (nam et ipse eos *mirifice corruptos* pro-

καὶ ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσει [1]) *εἰς τὸν αἰῶνα.“ Ὁ δὲ Παῦλος νηπίοις διαλεγόμενος καὶ κατὰ ἄνθρωπον περιπατοῦσι Κορινθίοις, φησί· „γάλα* [2]) *ὑμᾶς ἐπότισα, οὐ βρῶμα. Οὔπω γὰρ ἐδύνασθε· ἀλλ᾽ οὐδὲ ἔτι νῦν δύνασθε. Ἔτι γάρ ἐστε σάρκινοι.“ Καὶ ἐν τῇ πρὸς Ἑβραίους· „καὶ* [3]) *γεγόνατε χρείαν ἔχοντες γάλακτος, οὐ στερεᾶς τροφῆς. Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστι. Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.“ Ἐγὼ δὲ ἡγοῦμαι καὶ τό· „ὃς* [4]) *μὲν πιστεύει φαγεῖν πάντα· ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει·“ μὴ περὶ σωματικῶν τροφῶν αὐτῷ προηγουμένως λέγεσθαι, ἀλλὰ περὶ τῶν τρεφόντων τὴν ψυχὴν λόγων θεοῦ· τοῦ μὲν πιστοτάτου καὶ τελειοτάτου δυναμένου πάντων μεταλαμβάνειν, ὅνπερ δηλοῖ διὰ τοῦ· „ὃς* [5]) *μὲν πιστεύει φαγεῖν πάντα·“ τοῦ δὲ ἀσθενεστέρου, καὶ ἀτελεστέρου, ἁπλουστέροις καὶ μὴ πάνυ εὐτονίαν ἐμποιοῦσι μαθήμασιν ἀρκουμένου· ὅντινα αὐτὸς σημῆναι θέλων λέγει· „ὁ* [6]) *δὲ ἀσθενῶν λάχανα ἐσθίει.“ Καὶ τὸ παρὰ τῷ Σολομῶντι δὲ ἐν ταῖς Παροιμίαις λεγόμενον ἡγοῦμαι διδάσκειν, ὅτι βελτίων ὁ μὴ χωρῶν τὰ*

---

nuntiat), ceterorum omnium lectionem loco aptam probamque repudiaverit; atque ideo tantum delenda censuerit verba: *τὸ μάννα*, ut, quod eodem redit, *τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ*, subintelligeret. Magni ille fortasse fecisset hunc Orig. locum, quem nos revera mendosum esse judicamus, et ex editis sic corrigendum: *ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον.*“

[1]) Cod. Mscr. „*ζήσει.*“ Ed. Oxon. „*ζήσεται.*“ R. — Anglus: „Sic, scil. *ζήσει*, etiam legit Origen. in Joann. Tom. 6. num. 26., at in edd. Joann. VI, 58. legitur: *ζήσεται.*“

[2]) Cfr. I Cor. III, 2. [3]) Cfr. Hebr. V, 12—14.

[4]) Rom. XIV, 2. [5]) Rom. XIV, 2.

[6]) Rom. XIV, 2.

εὐτονώτερα καὶ μείζονα τῶν δογμάτων διὰ τὴν ἁπλότητα, οὐκ ἐσφαλμένα μέντοι γε φρονῶν, τοῦ ἐντρεχεστέρου μὲν, καὶ ὀξυτέρου, καὶ μειζόνως ἐπιβάλλοντος τοῖς πράγμασι, τὸν δὲ τῆς εἰρήνης καὶ συμφωνίας τῶν ὅλων λόγον μὴ τρανοῦντος. Ἔχει δὲ οὕτως αὐτῷ ἡ λέξις· „κρείσσων[1]) ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ μόσχος ἀπὸ φάτνης μετὰ ἔχθρας.“ Πολλάκις γοῦν ἀπεδεξάμεθα ἰδιωτικὴν καὶ ἁπλουστέραν μετὰ εὐσυνειδησίας ἑστίασιν, ξενιζόμενοι παρὰ[2]) τοῖς πλέον ἡμῖν παρασχεῖν μὴ δυναμένοις, ἤπερ λόγων ὕψος ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ θεοῦ, μετὰ πολλῆς πιθανότητος ἀλλότριον καταγγέλλον[3]) τοῦ τὸν νόμον[4]) καὶ τοὺς προφήτας δεδωκότος πατρὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ δόγμα. Ἵνα τοίνυν μήτε δι' ἔνδειαν τροφῶν τὴν ψυχὴν νοσήσωμεν, μήτε διὰ λιμὸν[5]) λόγου κυρίου τῷ θεῷ ἀποθάνωμεν, τὸν ζῶντα ἄρτον, ὅστις ὁ αὐτός ἐστι τῷ ἐπιουσίῳ, πειθόμενοι τῷ διδασκάλῳ σωτῆρι ἡμῶν, πιστεύοντες καὶ βιοῦντες δεξιώτερον, αἰτῶμεν παρὰ τοῦ πατρός. Τὶ δὲ καὶ τὸ „ἐπιούσιον,“[6]) ἤδη κατανοητέον. Πρῶτον δὲ τοῦτ' ἰστέον, ὅτι ἡ λέξις ἡ „ἐπιούσιον,“[7]) παρ' οὐδενὶ τῶν Ἑλλήνων, οὔτε τῶν σοφῶν ὠνόμασται, οὔτε ἐν τῇ τῶν ἰδιωτῶν συνηθείᾳ τέτριπται, ἀλλ' ἔοικε πεπλάσθαι ὑπὸ τῶν εὐαγγελιστῶν. Συνηνέχθησαν γοῦν ὁ Ματθαῖος καὶ ὁ Λουκᾶς περὶ αὐτῆς μηδαμῶς διαφε-

---

[1]) Cfr. Prov. XV, 17.

[2]) Cod. Mscr. recte: „παρὰ τοῖς.“ Ed. Oxoniensis: „παρὰ τοῦ.“ R.

[3]) Bentlejus legit: „καταγγελλόντων νο˜ τὸν νόμον“ κτλ., sed, „καταγγέλλον“ retineri potes˙, modo referatur ad praecedens „ὕψος.“ R.

[4]) Cfr. Matth. XXII, 40.

[5]) Cfr. Amos. VIII, 11.

[6]) Cfr. Matth. VI, 11. coll. Luc. XI, 3.

[7]) Cfr. Matth. VI, 11. coll. Luc. XI, 3.

ρούσης,[1]) αὐτὴν ἐξηνηνοχότες. Τὸ ὅμοιον δὲ καὶ ἐπ' ἄλλων οἱ ἑρμηνεύοντες τὰ ἑβραϊκὰ πεποιήκασι.[2]) Τίς γάρ ποτε Ἑλλήνων ἐχρήσατο τῇ· „ἐνωτίζου·"[3]) προσηγορίᾳ, ἢ τῇ· „ἀκουτίσθητι·"[4]) ἀντὶ τοῦ· εἰς τὰ ὦτα δέξαι, καὶ ἀκοῦσαι ποίει;[5]) Ἰσομοία[6]) τῇ ἐπιουσίῳ

---

[1]) Bentlejus legit: „διαφερόμενοι, ἀλλ' αὐτήν." R. — Anglus: „Lege: διαφέρουσαν, et sic distingue: συνηνέχθησαν — περὶ αὐτῆς, μηδαμῶς διαφέρουσαν αὐτὴν ἐξηνηνοχότες." — Equidem, si quid mutandum, ab Angli partibus steterim.

[2]) Cod. Mscr. „πεποιήκασι," ed. Oxon. „πεπονήκασι." R.

[3]) Anglus: „Hoc in sensu saepe LXX. interpretes utuntur verbo: ἐνωτίζεσθαι. De quo apud Jerem. XIII, 15. (cfr. Orig. Homil. 12. in Jerem.) idem fere, quod hic, notat Origenes his verbis: τί τὸ ἐνωτίσασθαι, ἀπ' αὐτῆς τῆς λέξεως κατανοήσωμεν τό· ἐνωτίσασθε· εἰς τὰ ὦτα δέξασθε. Atque eodem modo Hesychius: ἐνωτίζου· ἐν τοῖς ὠτίοις δέχου."

[4]) Anglus: „Vitiosa certe sunt haec verba; nusquam enim apud LXX. interpretes exstat illud: ἀκουτίσθητι, nec in passiva forma omnino usurpatur hoc verbum; neque etiam, si usurparetur, imperativum: ἀκουτίσθητι, ullo pacto significaret: ἀκοῦσαι ποιεῖς. Quapropter legendum censeo: ἀκούτισον· ἀντὶ τοῦ· εἰς τὰ ὦτα δέξαι, καὶ ἀκοῦσαι ποίει. Nam occurrit hoc verbum isto in sensu haud semel apud LXX. interpretes, e. c. Cantic. II, 14. ἀκούτισόν με τὴν φωνήν σου. Atque iterum cap. VIII, 13. ἀκούτισόν με, *fac me audire*, hoc est: ἀκοῦσαι ποίει με."

[5]) Edd. Oxon. et R. in textu: „ποιεῖς," ed. vero R. in notis: „Lege cum Bentlejo: ποίει." — Cfr. pag. huj. not. 4.

[6]) Anglus: „Lege: ἰσομοία δὲ τῇ „„ἐπιούσιον"" προσηγορίᾳ ἐστὶ παρά κτλ. Sic supra: ἡ λέξις ἡ ἐπιούσιον."

προσηγορία ἐστὶ παρὰ Μωϋσῇ γεγραμμένη, ὑπὸ θεοῦ εἰρημένη· „ὑμεῖς [1]) δὲ ἔσεσθέ μοι λαὸς περιούσιος." Καὶ δοκεῖ μοι ἑκατέρα λέξις παρὰ τὴν οὐσίαν πεποιῆσθαι· ἡ μὲν τὸν εἰς τὴν οὐσίαν συμβαλλόμενον ἄρτον δηλοῦσα· ἡ δὲ τὸν εἰς τὴν οὐσίαν καταγινόμενον λαὸν, καὶ κοινωνοῦντα αὐτῇ, σημαίνουσα. Ἡ μέντοι κυρίως οὐσία, τοῖς [2]) μὲν προηγουμένην [3]) τὴν τῶν ἀσωμάτων ὑπόστασιν εἶναι φάσκουσι, [4]) νενόμισται κατὰ τὰ ἀσώματα τὸ εἶναι βεβαίως ἔχοντα, καὶ οὔτε προσθήκην χωροῦντα, οὔτε ἀφαίρεσιν πάσχοντα· τοῦτο γὰρ ἴδιον σωμάτων, περὶ ἃ γίνεται [5]) ἡ αὔξη καὶ ἡ φθίσις, παρὰ τὸ εἶναι αὐτὰ ῥευστὰ, δεόμενα τοῦ ὑποστηρίζοντος ἐπεισιόντος [6]) καὶ τρέφοντος· ὅπερ ἐὰν [7]) πλεῖον ἐν καιρῷ ἐπεισίῃ

---

[1]) Cfr. Exod. XIX, 5.

[2]) Cod. Mscr. „τοῖς μὲν προηγουμένην," ed. Oxon. „τοῖς μὲν προηγουμένοις." R.

[3]) Anglus: „Ita de anima mundi dicit Timaeus Locrus: ἃν οὐχ ὑστέραν τᾶς σωματικᾶς οὐσίας συνετάξατο ὁ θεὸς — (πρότερον γὰρ τὸ τιμιώτερον καὶ δυνάμει καὶ χρόνῳ,) ἀλλὰ πρεσβυτέραν ἐποίει κτλ. Cui consentit Plato in Timaeo: ὁ θεὸς γενέσει καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν ψυχὴν σώματος συνεστήσατο. Et de leg. lib. 10. — τὰ ψυχῆς τῶν τοῦ σώματος ἔσοιτο πρεσβύτερα, — εἴπερ καὶ ψυχὴ σώματος. Iidem porro τὴν ἰδέαν, sive ἀρχὴν παραδειγματικὴν rerum creandarum, οὐσίαν ἀσώματον esse statuunt. Quod et de primis causis omnibus, referente Plutarcho, Pythagoras et Aristoteles affirmabant: Πυθαγόρας, καὶ Ἀριστοτέλης, τὰ μὲν πρῶτα αἴτια (scil. φασὶν) ἀσώματα. Cfr. Plutarch. de Placit. Philos. I, 10. 11."

[4]) Bentlejus legit: „φάσκουσιν ὠνόμασται." R.

[5]) Cod. Mscr. „γίνεται ἡ αὔξη." Ed. Oxon. „γίνεται ἡ αὔξησις." R.

[6]) Anglus: „Cod. Mscr. male: ἐπισείοντος."

[7]) Anglus: „Sic etiam Timaeus Locrus: τροφὰ δὲ

τοῦ ἀποῤῥέοντος, αὔξησις γίνεται· ἐὰν δὲ ἔλαττον, μείωσις. Τάχα δέ [1]) τινα οὐδ' ὅλως τὸ ἐπεισιὸν λαμβάνοντα, ἐν ἀκράτῳ, ἵν' οὕτως εἴπω, μειώσει γίνεται. Τοῖς δὲ ἐπακολουθητικὴν αὐτὴν εἶναι νομίζουσι, προηγουμένην [2]) δὲ τὴν τῶν σωμάτων, ὅροι αὐτῆς οὗτοί εἰσιν· οὐσία ἐστὶν ἡ πρώτη [3]) τῶν ὄντων ὕλη, καὶ ἐξ [4]) ἧς τὰ ὄντα· ἡ [5])

— εἴκα πλείω τᾶς ἀποῤῥεούσας ἐπάρδοιτο, αὔξα λέγεται· εἴκα δὲ μείω, φθίσις."

[1]) Edd. Oxon. et Ruaei: „δέ τινα οὐδόλως.

[2]) Anglus: „In ea erant sententia philosophorum pars multo maxima, praesertim Stoici, qui πάντα τὰ αἴτια dicebant esse σωματικά, (ap. Plutarch. de Placitis Philosophor. I, 11.), atque σώματα εἶναι τὰς ἀρχάς, apud Laert. 7. 134. Confer. Origen. contra Cels. lib. VI. num. 71."

[3]) Anglus: „Philosophorum hic primariorum communem refert sententiam Origenes. Ita enim Stoicorum princeps Zeno (ap. Stob. Ec. Phys. c. 14.) dicit: οὐσίαν εἶναι τὴν τῶν ὄντων πάντων πρώτην ὕλην. Sic et Ocellus Pythagoricus (de Universo c. 2.): πρῶτον δὲ ὕλη τὸ πανδεχές· κοινὸν γὰρ ὑπόκειται πᾶσι. Et Timaeus Locrus: τὰν δ' ὕλαν (scil. ἔφα) ἐκμαγεῖον, καὶ ματέρα, τιθάναν τε καὶ γεννατικὰν εἶμεν τᾶς τρίτας οὐσίας. Cui succinit etiam Plato in Timaeo. His autem consentit Aristoteles (Phys. Ausc. I. 10.): ὑποκεῖσθαί τι δεῖ πρῶτον, τὸ ἐξ οὗ —· λέγω γὰρ ὕλην τὸ πρῶτον ὑποκείμενον ἑκάστῳ. Vide Plutarch. de Placit. Philos. I. 9. et Alcin. de doctr. Platonis cap. 8., et Laert. in Zenon. 7. 150."

[4]) Anglus: „In Cod. Mscr. male scribitur: ἐξῆς."

[5]) Edd. Oxon. et Ruaei: „ἡ τῶν — σώματα· ἡ τῶν" κτλ., et recte quidem. Anglus vero: „Legendum esse: ᾗ τῶν — σώματα· ᾗ τῶν κτλ., locus ipse ostendit, sicut et in seqq. legitur. Librarius vero minus attentus utrobique scripsit: ἡ τῶν — σώματα· ἡ τῶν κτλ., uti habet ed. Oxoniensis."

τῶν σωμάτων ὕλη, καὶ ἐξ[1]) *ἧς τὰ σώματα· ἡ τῶν ὀνομαζομένων, καὶ ἐξ*[2]) *ἧς τὰ ὀνομαζόμενα· ἢ τὸ πρῶτον ὑπόστατον ἄποιον· ἢ τὸ προϋφιστάμενον τοῖς οὖσιν· ἢ τὸ πάσας δεχόμενον τὰς μεταβολάς τε καὶ ἀλλοιώσεις, αὐτὸ δὲ ἀναλλοίωτον κατὰ τὸν ἴδιον λόγον· ἢ τὸ ὑπομένον πᾶσαν ἀλλοίωσιν καὶ μεταβολήν. Κατὰ τούτους δὲ ἡ οὐσία ἐστὶν ἄποιός*[3]) *τε καὶ ἀσχημάτιστος κατὰ τὸν ἴδιον λόγον, ἀλλ᾽ οὐδὲ μέγεθος ἀποτεταγμένον ἔχουσα, πάσῃ δὲ ἔγκειται*[4]) *ποιότητι, καθάπερ ἕτοιμόν τι χωρίον. Ποιότητας δὲ διατακτικῶς*[5]) *λέγουσι τὰς ἐνεργείας καὶ τὰς ποιήσεις κοινῶς, ἐν αἷς εἶναι τὰς κινήσεις καὶ σχέσεις συμβέβηκεν· οὐδέ τινος γὰρ τούτων κατὰ τὸν ἴδιον λόγον μετέχειν φασὶ τὴν οὐσίαν, ἀεὶ δέ τινος αὐτῶν ἀχώριστον εἶναι πάθει*[6]) *τήνδε, οὐδὲν*

---

[1]) Anglus: „In Cod. Mscr. male scribitur: *ἐξῆς*."

[2]) Anglus: „In Cod. Mscr. male scribitur: *ἐξῆς*."

[3]) Anglus: „Eodem modo loquitur Origenes contra Celsum lib. III. num. 41. *ἐπιστησάτω τοῖς ὑπὸ τῶν Ἑλλήνων λεγομένοις περὶ τῆς τῷ ἰδίῳ λόγῳ ἀποίου ὕλης, ποιότητας ἀμφισκομένης.* Et lib. IV. num. 56. *ὕλη γὰρ ἡ αὐτὴ πᾶσι τοῖς σώμασιν ὑποκειμένη, τῷ ἰδίῳ λόγῳ ἄποιος καὶ ἀσχημάτιστος.* Ita quoque Comm. in Joann. Tom. 13. num. 21. Sic autem Timaeus: *ταύταν δὲ τὰν ὕλαν ἔφα ἄμορφον καθ᾽ αὐτὰν, καὶ ἀσχημάτιστον, δεχομέναν δὲ πᾶσαν μορφάν.* Et similiter Ocellus. Confer. vero Plutarch. de Anim. Procreat. e Timaeo p. 1014. et 1023. et de Placitis Philos. 1. 9. Laert. 3. 69. 76. et 7. 134. Stob. Ec. Phys. 14. Origen. Philosoph. de Platone cap. 19. ex ed. Wolf. et Alcinoum de Doctr. Platon. cap. 8."

[4]) Anglus: „Legendum sine dubio est: *ὑπόκειται.* Quo verbo de hac re semper utuntur Philosophi, atque ipse quoque Origenes contra Celsum lib. IV. num. 56. et 57.

[5]) Legebat Fleury: „*διαταιικῶς.*" R.

[6]) Ed. Oxoniensis: „*πάθει, τὴν δὲ οὐδέν*" *κτλ.* —

ῆττον καὶ ἐπιδεκτικὴν [1]) πασῶν τῶν τοῦ ποιοῦντος ἐνεργειῶν, ὡς ἂν ἐκεῖνο ποιῇ καὶ μεταβάλλῃ· ὁ γὰρ συνὼν [2]) αὐτῇ τόνος, καὶ δι' ὅλων κεχωρηκὼς, πάσης τε ποιότητος καὶ τῶν περὶ αὐτὴν αἴτιος [3]) ἂν οἰκονομιῶν. Δι' ὅλων τε μεταβλητὴν, καὶ δι' ὅλων διαιρέτην λέγουσιν εἶναι, καὶ πᾶσαν [4]) οὐσίαν πάσῃ συγχεῖσθαι δύνασθαι,

---

Anglus: „Lege: *πάθει, αὐτὴν δὲ οὐδέν κτλ.* His autem gemina sunt Origenis illa Comm. in Genesin: *ὕλη δεκτικὴ γεγένηται πάσης, ἧς βούλεται ὁ θεὸς, ποιότητος.* Et contra Celsum lib. IV. num. 47. *τὴν ὑποκειμένην ὕλην δεκτικὴν εἶναι ποιοτήτων, ὧν ὁ δημιουργὸς βούλεται, πάντες οἱ πρόνοιαν παραδεξάμενοι κατασκευάζομεν.* Ita vero (lib. VII. Segm. 134.) de Stoicis Laertius: *δοκεῖ αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν, καὶ τὸ πάσχον· τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην· τὸ δὲ ποιοῦν, τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν.*"

[1]) Edd. Oxon. et Ruaei: „*ἐπιδεκτήν.*"

[2]) Anglus: „Tonus scil. iste *ἀεριώδης*, qui, ut putabant Stoici, *ὕλην ἄποιον* pervadens *ποιότητας* efficit, et singulis ejus partibus corporum formam inducit, uti de hac re disserens nos docet Plutarchus de Repugn. Stoic. p. 1054. coll. 1085."

[3]) Lego cum Bentlejo: „*αἴτιος ἂν ᾖ οἰκονομιῶν.*" R. — Anglus: „Scil. *εἴη*, quod a librario hic omissum videtur."

[4]) Anglus: „Ita apud Stobaeum (Œc. Phys. cap. 14.) dicit Zeno: *οὐσίαν εἶναι τὴν πρώτην ὕλην —· τὰ δὲ μέρη ταύτης διαιρεῖσθαι καὶ συγχεῖσθαι.* Sic etiam ibidem ait Chrysippus: *πρώτην ὕλην διαίρεσιν καὶ σύγχυσιν ἐπιδέχεσθαι κατὰ τὰ μέρη.* Hanc vero Philosophorum sententiam, de qua pluribus hic agit Origenes, paucis hisce (Acad. I. 8.) complexus est Cicero: ***Subjectam putant omnibus sine ulla specie, atque carentem omni qualitate materiam quandam, ex qua omnia***

ἡνωμένην[1]) μέντοι. Ἐπεὶ δὲ περὶ τῆς οὐσίας ζητοῦντες, διὰ τὸν ἐπιούσιον ἄρτον, καὶ τὸν περιούσιον λαὸν, εἰς τὸ τὰ σημαίνοντα διακριθῆναι τῆς οὐσίας ταῦτ' εἰρήκαμεν· ἄρτος δὲ ἐν τοῖς πρὸ τούτων νοητὸς ἦν, ὃν αἰτεῖν ἡμᾶς ἐχρῆν, ἀναγκαῖον συγγενῆ τῷ ἄρτῳ τὴν οὐσίαν εἶναι νοεῖν· ἵν' ὥσπερ ὁ σωματικὸς ἄρτος ἀναδιδόμενος εἰς τὸ τοῦ τρεφομένου σῶμα, χωρεῖ αὐτοῦ εἰς τὴν οὐσίαν, οὕτως ὁ ζῶν, καὶ ἐξ οὐρανοῦ καταβεβηκὼς ἄρτος ἀναδιδόμενος εἰς τὸν νοῦν καὶ τὴν ψυχὴν, μεταδῷ τῆς ἰδίας δυνάμεως τῷ ἐμπαρεσχηκότι ἑαυτὸν τῇ ἀπ' αὐτοῦ τροφῇ. Καὶ[2]) οὕτως ἔσται ὃν αἰτοῦμεν ἄρτον ἐπιούσιον. Καὶ πάλιν ὃν τρόπον κατὰ τὴν ποιότητα τῆς τροφῆς, στερεᾶς οὔσης καὶ ἀθληταῖς ἁρμοζούσης, ἢ γαλακτώδους τινὸς καὶ λαχανώδους, ἐν διαφόρῳ δυνάμει ὁ τρεφόμενος γίνεται· οὕτως ἀκόλουθόν ἐστι τοῦ λόγου τοῦ θεοῦ, ἤτοι ὡς γάλακτος παιδίοις ἁρμοζόντως διδομένου, ἢ ὡς λαχάνου ἀσθενοῦσιν ἐπιτηδείως, ἢ ὡς σαρκὸς ἀγωνιζομένοις[3]) προσφόρως, ἕκαστον τῶν τρεφομένων κατὰ τὴν ἀναλογίαν, ᾧ[4]) ἐμπαρέσχεν ἑαυτὸν λόγῳ, τόδε τι, ἢ τόδε δύνασθαι, καὶ τοιόνδε ἢ τοιόνδε γίνεσθαι. Ἔστι μέντοι γέ τις νομιζομένη τροφὴ, οὖσα δηλητήριος,[5]) καὶ ἑτέρα νοσοποιὸς, καὶ ἄλλη μηδὲ

---

expressa atque effícta sint: quae tota omnia accipere possit, omnibusque modis mutari, atque ex omni parte."

[1]) Cod. Mscr. „ἡνωμένην." Ed. Oxoniensis: „ἡνωμένη." R.

[2]) Forte legendum: „καὶ οὗτος ἔσται ὃν αἰτοῦμεν, ἄρτος ἐπιούσιος." R.

[3]) Edd. Oxon. et R. in textu: „ἀγωνιζομένοις, πρὸς ἕκαστον," ed. vero R. in notis: „Lego cum Bentlejo: ἀγωνιζομένοις προσφόρως, ἕκαστον." — Anglus: „Delendum opinor: πρός."

[4]) Cod. Mscr. „ᾧ ἐμπαρέσχεν." Ed. Oxoniensis: „ὃ ἐμπαρέσχεν." R.

[5]) Anglus: „Idem fere dicit Origen. in Joann. Tom 13.

ἀναδοθῆναι δυναμένη· ἅπερ πάντα κατ' ἀναλογίαν μετενεκτέον ἐστὶ καὶ ἐπὶ τὰς διαφορὰς τῶν νομιζομένων τροφίμων μαθημάτων. Ἐπιούσιος τοίνυν ἄρτος, ὁ τῇ φύσει τῇ λογικῇ καταλληλότατος, [1]) καὶ τῇ οὐσίᾳ αὐτῇ συγγενής, ὑγείαν ἅμα καὶ εὐεξίαν καὶ ἰσχὺν περιποιῶν τῇ ψυχῇ, καὶ τῆς ἰδίας ἀθανασίας, — ἀθάνατος γὰρ ὁ λόγος τοῦ θεοῦ, — μεταδιδοὺς τῷ ἐσθίοντι αὐτοῦ. Οὗτος δὴ [2]) ὁ ἐπιούσιος ἄρτος, ἄλλῳ ὀνόματι δοκεῖ μοι ἐν τῇ γραφῇ ξύλον ζωῆς ὠνομάσθαι, ἐφ' ὅπερ ὁ ἐκτείνας [3]) τὴν χεῖρα, καὶ λαβὼν ἀπ' αὐτοῦ, ζήσεται [4]) εἰς τὸν αἰῶνα. Καὶ τρίτῳ ὀνόματι τοῦτο τὸ ξύλον, σοφία τοῦ θεοῦ ὀνομάζεται παρὰ τῷ Σολομῶντι διὰ τούτων· „ξύλον [5]) ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις [6]) ὡς ἐπὶ κύριον, ἀσφαλής.“ Ἐπεὶ δὲ καὶ οἱ ἄγγελοι σοφίᾳ τρέφονται θεοῦ, ἀπὸ τῆς κατὰ τὴν ἀλήθειαν μετὰ σοφίας θεωρίας δυναμούμενοι πρὸς τὸ τὰ ἴδια ἔργα ἐπιτελεῖν, λέγεται ἐν ψαλμοῖς καὶ τοὺς ἀγγέλους τρέφεσθαι, κοινωνούντων τῶν ἀνθρώπων τοῦ θεοῦ, οἵτινες Ἑβραῖοι προσαγορεύονται, τοῖς ἀγγέλοις,

---

num. 33. ἔστι δέ τις καὶ δηλητήριος τροφὴ, ἥντινα μανθάνομεν ὑπὸ (lege: ἀπὸ) τῆς τετάρτης τῶν Βασιλειῶν, λεγόντων πρὸς Ἐλισαῖόν τινων· θάνατος ἐν τῷ λέβητι“ κτλ.

[1]) Cod. Mscr. „καταλληλότατος,“ ed. Oxon. „καταλληλότερος.“ R.

[2]) Anglus: „Lege: δέ.“ [3]) Cfr. Gen. III, 22.

[4]) Anglus: „Cod. Mscr. ζήσηται.“

[5]) Cfr. Prov. III, 18.

[6]) Cod. Mscr. „ἐπερειδομένοις ὡς ἐπὶ κύριον, ἀσφαλής,“ ed. Oxon. „ἐπερειδομένοις (ἐπ' αὐτῷ) ὡς ἐπὶ κύριον, ἀσφαλής.“ Vulgata biblia graeca Vaticana pro: „ἐπ' αὐτῷ,“ habent: „ἐπ' αὐτήν.“ Bentlejus in his verbis: „ὡς ἐπὶ κύριον,“ vetus mendum detexisse sibi videtur, et legit: „ὡς ἐπὶ κίονα ἀσφαλής,“ *tanquam in columnam, secura.* R.

καὶ οἱονεὶ καὶ [1]) *συνεστίων αὐτοῖς γινομένων. Τοιοῦτον δέ ἐστι τό· „ἄρτον* [2]) *ἀγγέλων ἔφαγεν ἄνθρωπος.“ Μὴ γὰρ ἐπὶ τοσοῦτον πτωχεῦσαι ὁ νοῦς ἡμῶν, ὡς οἰηθῆναι σωματικοῦ τινος ἄρτου, τοῦ* [3]) *ἱστορουμένου οὐρανόθεν ἐπὶ τοὺς ἐξεληλυθότας τὴν Αἴγυπτον καταβεβηκέναι, τοὺς ἀγγέλους ἀεὶ μεταλαμβάνοντας τρέφεσθαι, τούτου αὐτοῦ* [4]) *κεκοινωνηκότων τῶν Ἑβραίων τοῖς ἀγγέλοις, τοῖς λειτουργικοῖς* [5]) *τοῦ θεοῦ πνεύμασιν. Οὐκ ἄκαιρον δὲ ζητοῦσιν ἡμῖν τὸν ἐπιούσιον ἄρτον, καὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τὴν σοφίαν τοῦ θεοῦ, τήν τε κοινὴν ἁγίων ἀνθρώπων καὶ ἀγγέλων τροφὴν, ἐπιστῆσαι καὶ περὶ τῶν ἐν Γενέσει* [6]) *γεγραμμένων τριῶν ἀνδρῶν καταχθέντων παρὰ τῷ Ἀβραὰμ, καὶ μεταλαβόντων πεφυραμένων τριῶν μέτρων σεμιδάλεως, εἰς ἐγκρυφιῶν ποίησιν· μήποτε γυμνῶς* [7]) *τροπικῶς ταῦτα εἴρηται, δυ-*

---

[1]) Anglus: „Delendum opinor *καί.*“

[2]) Psalm. LXXVIII, 25. (LXXVII.)

[3]) Anglus: „Sententiam turbat illud *τοῦ*, et e praecedente syllaba repeti videtur; eo igitur misso, lege: *ἄρτου ἱστορουμένου.*“

[4]) Anglus: „Lege: *ἄρτου.* Non enim *τοῦτον αὐτόν*. *hunc ipsum* vult, quem olim comedebant Hebraei, sed hujusmodi panem: *τούτου ἄρτου*, scil. *σωματικοῦ.*“ — Equidem nihil mutaverim.

[5]) Cfr. Hebr. I, 14. — Anglus: „In Cod. Mscr. perperam scribitur: *αὐτουργικοῖς*, quod nos ex Hebr. I, 14. corrigendum duximus.“

[6]) Cfr Gen XVIII, 2. seqq.

[7]) Lego cum Bentlejo: „*οὐ γυμνῶς, ἀλλὰ τροπικῶς.*“ R. — Anglus: „*γυμνῶς τροπικῶς*, id est, nude, et semota quasi veste, tropico in sensu dicta appareant: quippe *τὸ σωματικὸν τῶν γραφῶν* est *ἔνδυμα τῶν πνευματικῶν*, uti ait Philocal. cap. I. ex ed. Spenceri pag. 11. 12. Eodem vero, quo hic, modo *τὰ γυμνὰ πνευματικὰ* opponit *τοῖς κατὰ τὴν ἱστορίαν*, ibidem cap. I. ex ed. Spenc. pag. 15. 16. Vult autem Origenes haec verba mere allegorica esse, et, ut alibi dicit: *οὐ κυρίως, ἀλλὰ τροπικῶς* intelligenda.“

ναμένων τῶν ἁγίων μεταδοῦναί ποτε τροφῆς νοητῆς καὶ λογικῆς οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θειοτέραις δυνάμεσιν, ἤτοι εἰς[1]) ὠφέλειαν αὐτῶν, ἢ εἰς ἐπίδειξιν ὧν δεδύνηνται[2]) περιποιῆσαι ἑαυτοῖς τροφιμωτάτων· εὐφραινομένων καὶ τρεφομένων ἐν τῇ τοιαύτῃ ἐπιδείξει τῶν ἀγγέλων, καὶ ἑτοιμοτέρων γινομένων πρὸς τὸ παντὶ τρόπῳ συνεργῆσαι, καὶ πρὸς τὸ ἑξῆς συμπνεῦσαι τῇ πλειόνων καὶ μειζόνων καταλήψει τοῦ ἐπὶ προτέροις παρεσκευασμένου τροφίμοις μαθήμασιν,[3]) εὐφράναντος καὶ, ἵν' οὕτως εἴπω, ἀναθρέψαντος αὐτούς. Οὐ θαυμαστὸν δὲ, εἰ ἀγγέλους τρέφει ἄνθρωπος, ὅπου[4]) γε καὶ Χριστὸς ὁμολογεῖ ἑστὼς[5]) παρὰ τὴν θύραν κρούειν, ἵν' εἰσελθὼν παρὰ τὸν ἀνοίξαντα αὐτῷ δειπνήσῃ μετ' αὐτοῦ ἐκ τῶν ἐκείνου, μετὰ ταῦτα καὶ αὐτὸς μεταδώσων[6]) τῶν ἰδίων τῷ πρότερον ἑστιάσαντι κατὰ τὴν ἰδίαν δύναμιν τὸν υἱὸν τοῦ θεοῦ. Τοῦ μὲν οὖν ἐπιουσίου ὁ μεταλαμβάνων ἄρτου στηριζόμενος τὴν καρδίαν, υἱὸς

---

[1]) Anglus: „Ita Homil. 23. in Lucam dicit: *angelos humanis vocibus erudiri.*"

[2]) Edd. Oxon. et R. in textu: „δεδύνηται," ed. vero R. in notis: „Lego cum Bentlejo: δεδύνηνται." — Anglus: „In Cod. Mscr. hic scriptum legitur: δεδύνηται, quod, cum manifestum sit librarii sphalma, nos corrigere non dubitavimus."

[3]) Edd. Oxon. et R. in textu: „παθήμασιν," ed. vero R. in notis: „Lego: μαθήμασιν."

[4]) Cod. Mscr. „ὅπου γε." Ed. Oxon. „ὅπου τε." R.

[5]) Cfr. Apoc. III, 20.

[6]) Anglus: „Sic Homil. 14. in Ezechielem: Salvator meus solus comedit panem, nullo valente comedere cum eo. Est autem quidam locus, in quo comedens et me secum attrahit ad vescendum: *ecce enim*, inquit, *ad ostium sto, et pulso. Si quis mihi apparuerit*, (legerim: *aperuerit*,), *ingrediar ad eum, et coenabo cum eo, et ipse mecum.* Ex quo apparet, et alium posse coenare cum eo."

θεοῦ γίνεται·[1]) *τοῦ δὲ δράκοντος*[2]) *ὁ μετέχων, οὐκ ἄλλος ἐστὶ τοῦ νοητοῦ*[3]) *Αἰθίοπος, διὰ τὰς τοῦ δράκοντος ἄρκυς μεταβάλλων καὶ αὐτὸς*[4]) *εἰς ὄφιν, ὥστε ὑπὸ τοῦ λόγου ὀνειδιζόμενον αὐτὸν, κἂν λέγῃ βαπτίζεσθαι θέλειν, ἀκούειν· „ὄφεις,*[5]) *γεννήματα ἐχιδνῶν· τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;" Λέγει δὲ περὶ τοῦ δρακοντείου σώματος ὑπὸ τῶν Αἰθιόπων ἐστιωμένου ὁ Δαυὶδ ταῦτα· „συνέτριψας*[6]) *τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος· σὺ*[7]) *συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν*[8]) *βρῶμα*

---

[1]) Sic habet Cod. Mscr., ed. autem Oxoniensis: „*γίνηται.*" R.

[2]) Anglus: „Id est: *τοῦ ἀντικειμένου*, ut postea dicit, nempe diaboli, *ἀλληγορικῶς.*"

[3]) Anglus: „Sic *νοητοὶ Βαβυλώνιοι* Homil. 1. in Jeremiam, et *νοητὸς Ναβουχοδονόσορ* Homilia 18. in Jeremiam. Itidem lib. 4. cap. 22. *περὶ ἀρχῶν* dicit: *εἰ τοίνυν αἱ προφητεῖαι αἱ περὶ Ἰουδαίας, καὶ περὶ Ἱερουσαλὴμ, καὶ Ἰσραὴλ, καὶ Ἰούδα, καὶ Ἰακὼβ, μὴ σαρκίνως ἡμῶν ἐκλαμβανόντων ταῦτα, μυστήρια τοιάδε τινὰ ὑποβάλλουσιν, ἀκόλουθον ἂν εἴη καὶ τὰς προφητείας τὰς περὶ Αἰγύπτου καὶ Αἰγυπτίων, καὶ Βαβυλῶνος καὶ Βαβυλωνίων, καὶ Τύρου καὶ Τυρίων, καὶ Σιδῶνος καὶ Σιδωνίων, ἢ τῶν λοιπῶν ἐθνῶν, μὴ μόνον περὶ τῶν σωματικῶν τούτων Αἰγυπτίων καὶ Βαβυλωνίων καὶ Τυρίων καὶ Σιδωνίων προφητεύειν, ἀλλὰ καὶ περὶ τῶν νοητῶν. Εἰ γὰρ Ἰσραηλῖται νοητοὶ, ἀκόλουθον καὶ Αἰγυπτίους εἶναι καὶ Βαβυλωνίους νοητούς.*"

[4]) Cod. Mscr. „*αὐτός.*" Ed. Oxon. „*αὐτόν.*" R.

[5]) Cfr. Matth. III, 7.

[6]) Cfr. Psalm. LXXIV, 13. 14. (LXXIII.)

[7]) Haec quidem verba: „*σὺ συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος,*" in Origenis Cod. Mscr. (itemque in ed. Oxon.) desiderantur, sed ex versione LXX. interpretum supplenda esse duximus, utpote necessaria. R.

[8]) Anglus, qui et ipse verba: „*σὺ συνέτριψας τὰς*

λαοῖς τοῖς Αἰθίοψιν.“ Εἰ δὲ μὴ ἀπεμφαίνει οὐσιώδως [1]) ὑφεστῶτος τοῦ υἱοῦ τοῦ θεοῦ, ὑφεστῶτος δὲ καὶ τοῦ [2]) ἀντικειμένου, ἑκάτερον αὐτῶν τροφὴν γίνεσθαι τοῦδε, ἢ τοῦδε, τί ὀκνοῦμεν παραδέξασθαι, ἐπί τε πασῶν τῶν δυνάμεων κρειττόνων καὶ χειρόνων, καὶ ἐπὶ τῶν ἀνθρώπων τὸ δύνασθαι τρέφεσθαι [3]) ἀπὸ [4]) πάντων τούτων ἕνα ἕκαστον ἡμῶν; Κοινωνεῖν γοῦν τῷ ἑκατοντάρχῳ Κορνηλίῳ, καὶ τοῖς ἅμα συναχθεῖσιν ἐν τῇ Καισαρείᾳ ὁ Πέτρος μέλλων, μετὰ δὲ ταῦτα καὶ τοῖς ἔθνεσι μεταδώσειν τῶν λόγων τοῦ θεοῦ, ὁρᾷ [5]) τὸ τέτταρσιν ἀρχαῖς καθιέμενον οὐρανόθεν σκεῦος, ἐν ᾧ [6]) πάντα τὰ τετράποδα, καὶ ἑρπετὰ, καὶ θηρία τῆς γῆς· ὅτε καὶ κελεύεται [7]) ἀναστὰς θῦσαι καὶ φαγεῖν, προστασσόμενος μετὰ τὸ παραιτούμενον αὐτὸν εἰρηκέναι· „σὺ [8]) οἶδας,

---

κεφαλὰς τοῦ δράκοντος,“ non legit, haec habet: „Nihil est, ad quod referatur: *αὐτόν*. Supple igitur locum secundum LXX. interpretes: *ὕδατος· συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτόν κτλ.* Ita vero habet ipse Origen. in Matth. Tom. 16. num. 26.

[1]) Edd. Oxon. et Ruaei: „*οὐσιωδῶς*.“

[2]) Anglus: „Scilicet: *δράκοντος*, seu diaboli. Sic autem Hom. 6. in Ezechielem: Scriptum in Job de dracone: *vitrus est ejus in umbelico*, —. Scio, cum praesentem locum exponerem, me dixisse, quod draco sit fortitudo contraria; iste est enim draco serpens antiquus, qui vocatur diabolus, et Satanas,“ etc.

[3]) Anglus: „Idem fere dicit Origen. Homil. 7. in Leviticum: Post Christi carnem, mundus cibus est Petrus, et Paulus, et omnes Apostoli: tertio loco discipuli eorum; et sic unusquisque pro quantitate meritorum, vel sensuum puritate, proximo suo efficitur cibus.“

[4]) Cod. Mscr. „*ἀπὸ πάντων*.“ Ed. Oxon. „*ἐπὶ πάντων*.“ R.

[5]) Cfr. Act. X, 11. 12. coll. XI, 5. 6.

[6]) Anglus: „Scilicet: *ὑπῆρχε*. Nam ita legitur Act. X, 12. *ἐν ᾧ ὑπῆρχε πάντα*“ *κτλ.*

[7]) Cfr. Act. X, 13. coll. XI, 7.

[8]) Cfr. Act. X, 14. coll. XI, 8.

ὅτι οὐδέποτε κοινὸν ἢ ἀκάθαρτον εἰσῆλθεν εἰς το στόμα μου·“ μηδένα[1]) κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον· τῷ τὰ καθαρθέντα ὑπὸ θεοῦ μὴ δεῖν ὑπὸ Πέτρου κοινοῦσθαι. Φησὶ γὰρ ἡ λέξις· „ἃ[2]) ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.“ Οἰκοῦν τὸ καθαρὸν βρῶμα, καὶ τὸ ἀκάθαρτον κατὰ τὸν Μωσέως νόμον ἐν ὀνομασίαις διακρινόμενον πλειόνων ζώων, τὴν ἀναφορὰν ἔχον ἐπὶ τὰ διάφορα ἤθη τῶν λογικῶν, διδάσκει, τούσδε μὲν τροφίμους ἡμῖν τυγχάνειν, τούσδε δὲ ἐναντίως ἔχειν, ἕως καθαρίσας πάντας, ποιήσῃ τροφίμους ὁ θεὸς, ἤ[3]) τινας ἀπὸ παντὸς γένους. Τούτων δὴ[4]) οὕτως ἐχόντων, καὶ τοσαύτης διαφορᾶς βρωμάτων οὔσης, εἷς παρὰ πάντας τοὺς εἰρημένους ἐστὶν ὁ ἐπιούσιος ἄρτος, περὶ οὗ εὔχεσθαι δεῖ, ἵνα ἐκείνου ἀξιωθῶμεν, καὶ τρεφόμενοι τῷ ἐν ἀρχῇ πρὸς θεὸν θεῷ λόγῳ θεοποιηθῶμεν. Ἐρεῖ δέ τις τὸ[5]) „ἐπιούσιον“ παρὰ τὸ „ἐπιέναι“ καὶ[6]) ἐσχη-

[1]) Cfr. Act. X, 28. [2]) Cfr. Act. X, 15. coll. XI, 9.

[3]) Edd. Oxon. et R. in textu: „ἢ τούς,“ ed. vero R. in notis: „forte legendum: ἢ τινας.“ — Versio latina haec habet: „donec omnes, aut saltem aliquos ex omni genere purificaverit Deus, utilesque fecerit.“

[4]) Anglus: „Lege: δέ.“

[5]) Edd. Oxon. et Ruaei: „τόν,“ Anglus vero: „Lege τὸ ἐπιούσιον. Dixerat Orig. supra: τὸ ἐπιούσιον, sive λέξιν hanc: ἐπιούσιον· παρὰ τὴν οὐσίαν πεποιῆσθαι. Sed regeret, inquit, hic quispiam hoc vocabulum: ἐπιούσιον, ab ἐπιέναι etiam formari posse. Sic autem Scholia in Orat. Dominicam his subjuncta: ὀνοματοπεποίηται τοίνυν τὸ ἐπιούσιον, ἢ παρὰ τὸ ἐπιέναι, καὶ ὑπερέρχεσθαι, ἵνα ᾖ, τὸν μὴ τοῦ ἐνεστῶτος αἰῶνος οἰκεῖον, ἀλλὰ τὸν ἀποδοθησόμενον ἐν τῷ μέλλοντι τοῖς ἁγίοις, δὸς ἡμῖν ἤδη· ἢ ἐπείπερ οὐσία κυρίως ἐστὶν ἡ ἐνεστῶσα καὶ βέβαιος, οἵα ἡ τῆς ψυχῆς ἡμῶν φύσις, φοροῦσα τὸ κατ᾽ εἰκόνα τοῦ ἀοράτου θεοῦ· κατὰ τοῦτο λέγοιτ᾽ ἂν ὁ τῇ κυρίως οὐσίᾳ ὁμιλῶν, ἄρτος ἐπιούσιος, θεὸς ὢν λόγος, ζῶν ἄρτος.“

[6]) Lego cum Bentlejo: „κατεσχηματίσθαι.“ R.

ματίσθαι, ὥστε αἰτεῖν ἡμᾶς κελεύεσθαι τὸν ἄρτον τὸν οἰκεῖον τοῦ μέλλοντος αἰῶνος, ἵνα προλαβὼν αὐτὸν ὁ θεὸς ἤδη ἡμῖν δωρήσηται, ὥστε τὸ οἱονεὶ αὔριον δοθησόμενον, σήμερον ἡμῖν δοθῆναι· σήμερον μὲν τοῦ ἐνεστῶτος αἰῶνος λαμβανομένου, αὔριον δὲ τοῦ μέλλοντος. Ἀλλὰ βελτίονος οὔσης τῆς προτέρας ἐκδοχῆς, ὅσον ἐπ' ἐμοὶ κριτῇ, τὸ [1]) περὶ τῆς „σήμερον" [2]) παρὰ τῷ Ματθαίῳ τούτοις προκείμενον, [3]) ἢ [4]) τὸ „καθ' [5]) ἡμέραν" παρὰ τῷ Λουκᾷ γεγραμμένον ἐξετάσωμεν. Ἔθος δὲ πολλαχοῦ [6]) τῶν γραφῶν τὸν πάντα αἰῶνα σήμερον

---

[1]) Cod. Mscr. „τὸ περὶ τῆς." Ed. Oxon. „τῷ περὶ τῆς." R. — Anglus: „Melius opinor: τὸ περὶ τοῦ· σήμερον. Sed quid, quaeso, est illud: τὸ περὶ τοῦ σήμερον παρὰ τῷ Ματθαίῳ τούτοις προκείμενον; Nihil enim video apud Matthaeum praeter ipsum σήμερον. Mihi igitur pro: τὸ περὶ τῆς σήμερον, legendum videtur: τόδε τὸ σήμερον, vel etiam: τὸ σήμερον, sicut mox sequitur: τὸ καθ' ἡμέραν."

[2]) Cfr. Matth. VI, 11.

[3]) Anglus non male, si ab emendatione ἢ in καί discesseris: „Lege: προσκείμενον, καὶ τό."

[4]) Cod. Mscr. „ἢ τό," ed. Oxon. „καὶ τό." R. — Cfr. pag. huj. not. 3.

[5]) Cfr. Luc. XI, 3.

[6]) Anglus: „Haec totidem fere verbis recitat Orig. Comm. in Joann. Tom. 32. num. 19. Πολλαχοῦ τό· σήμερον· ἐν τῇ γραφῇ καὶ ἐπὶ ὅλον παρατείνει τὸν ἐνεστηκότα αἰῶνα, ὥσπερ δὲ καὶ ἐν τῷ· ἐφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον· καί· οὗτος πατὴρ Μωαβιτῶν μέχρι τῆς σήμερον ἡμέρας· καί· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε· καί· μὴ ἀπόστητε ἀπὸ κυρίου ἐν τῇ σήμερον ἡμέρᾳ." — Cfr. ed. nostrae Tom. II. pag. 482. coll. notis 2. 3. 4. 5. et Matth. XXVIII, 15. Gen. XIX, 37. 38. Psalm. XCV, 7. 8. (XCIV.) coll. Hebr. III. 7. seqq. et Jos. XXII, 16. 18. 19.

καλεῖσθαι, ὥσπερ ἐν τῷ· „οὗτος[1]) πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας·“ καί· „οὗτος[2]) πατὴρ Ἀμμανιτῶν ἕως τῆς σήμερον ἡμέρας·“ καί· „ἐφημίσθη[3]) ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις ἕως τῆς σήμερον·“ καὶ ἐν τοῖς ψαλμοῖς· „σήμερον[4]) ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.“ Ἐν δὲ τῷ Ἰησοῦ σαφέστατα οὕτω τοῦτο εἴρηται· „μὴ[5]) ἀπόστητε ἀπὸ κυρίου ἐν ταῖς σήμερον ἡμέραις.“ Εἰ δὲ σήμερον[6]) ὁ πᾶς οὗτος αἰὼν, μήποτε ὁ[7]) χθὲς ὁ παρεληλυθώς ἐστιν αἰών. Τοῦτο δὲ ἐν ψαλμοῖς, καὶ παρὰ τῷ Παύλῳ ἐν τῇ πρὸς Ἑβραίους λέγειν[8]) ὑπειλήφαμεν· ἐν ψαλμοῖς οὕτως· „χίλια[9]) ἔτη ἐν ὀφθαλμοῖς σου, ὡσεὶ ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθεν·“ ἥτις ποτέ ἐστιν ἡ διαβόητος χιλιονταετηρὶς,[10]) ἣ[11]) ὁμοιοῦται τῇ ἐχθὲς ἡμέρᾳ διαφερούσῃ τῆς

---

[1]) Cfr. Gen. XIX, 37. [2]) Cfr. Gen. XIX, 38.

[3]) Cfr. Matth. XXVIII, 15.

[4]) Cfr. Psalm. XCV, 7. 8. (XCIV.)

[5]) Cfr. Jos. XXII, 16. 18. 19. coll. pag. 221. not. 6.

[6]) Anglus non male: „Lege: τὸ σήμερον ὁ πᾶς.“

[7]) Cod. Mscr. „ὁ χθὲς ὁ παρεληλυθώς ἐστιν.“ Ed. Oxon. pro: „χθές,“ habet: „ἐχθές.“ Bentlejus locum integrum sic legit: „μήποτε ἐχθὲς ὁ παρεληλυθώς ἐστιν αἰών.“ R. — Anglus non male: „Lege: τὸ χθές. In eo autem, quod paulo post dicit Origenes, scil. τὸ χθές, seu: ἡμέραν τὴν ἐχθές, esse τὴν διαβόητον χιλιονταετηρίδα, perstringit plane Papiae sectatores, qui sanctorum post resurrectionem regnum quoddam in terris χιλιετῆ somniabant.“

[8]) Anglus: „Subaudi ex superioribus: τὰς γραφάς, aut pro: λέγειν, legas oportet: λέγεσθαι.“

[9]) Cfr. Psalm. XC, 4. (LXXXIX.)

[10]) Lego cum Bentlejo: „χιλιοετηρίς.“ Chiliastarum autem dogma, quod olim Papias ecclesiae invexit, dein Irenaeum, Justinum et Tertullianum, aliosque e veteribus patronos habuit, ab Origene passim oppugnatur, scil. Comment. in Matth. et lib. II. περὶ ἀρχῶν, nec non Prolog. in Canticum Canticorum: quod et hic perstringit. R. [11]) Deest „ἣ“ in ed. Oxoniensi.

σήμερον. Παρὰ δὲ τῷ ἀποστόλῳ γέγραπται· „Ἰησοῦς[1]) Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας." Καὶ οὐδὲν θαυμαστὸν, τῷ[2]) θεῷ τὸν ὅλον αἰῶνα τῆς παρ' ἡμῖν μιᾶς[3]) ἡμέρας διαστήματι[4]) λόγον λέγειν, ἐγὼ δ' οἶμαι ὅτι καὶ ἐλάττονος. Καὶ ἐξεταστέον, εἰ ἐπὶ αἰῶνας ἀναφέρονται οἱ λόγοι τῶν κατὰ τὰς ἡμέρας, ἢ μῆνας, ἢ καιροὺς, ἢ ἐνιαυτοὺς ἀναγεγραμμένων ἑορτῶν, ἢ πανηγύρεων.[5]) Εἰ γὰρ σκιὰν[6]) ἔχει ὁ νόμος τῶν μελλόντων, ἀνάγκη τὰ πολλὰ σάββατα πολλῶν τινων ἡμερῶν εἶναι σκιὰς, καὶ τὰς νουμηνίας διὰ χρονικῶν διαστημάτων ἐνίστασθαι, οὐκ οἶδα ὑπὸ ποίας σελήνης συνοδευούσης τινὶ ἡλίῳ ἐπιτελουμένας.[7]) Εἰ δὲ καὶ πρῶτος μὴν,[8]) καὶ δεκάτη ἡμέρα ἕως τεσσαρεσκαιδεκάτης, καὶ τῶν ἀζύμων[9]) ἑορτὴ ἀπὸ τεσσαρεσκαιδεκάτης ἕως μιᾶς καὶ εἰκάδος,

---

[1]) Hebr. XIII, 8.

[2]) Legit Bentlejus: „τῷ θεῷ τῶν ὅλων τὸν ὅλον αἰῶνα τοῦ παρ' ἡμῖν μιᾶς ἡμέρας διαστήματος λόγον ἔχειν." R.

[3]) Anglus: „Sic Comm. in Matth. Tom. 15. num. 31. ὅρα, εἰ δυνάμεθα τὸν ὅλον ἐνεστῶτα αἰῶνα ἡμέραν τινὰ εἰπεῖν," κτλ.

[4]) Anglus: Legendum sine dubio est: διαστήματος λόγον ἔχειν." — Cfr. pag. huj. not. 2.

[5]) Cod. Mscr. „πανηγύρεων," ed. Oxon. „πανηγύριων." R.

[6]) Cfr. Hebr. X, 1.

[7]) Cod. Mscr. „ἐπιτελουμένας," ed. Oxon. „ἐπιτελουμένης." R.

[8]) Cfr. Exod. XII, 2—6.

[9]) Cfr. Exod. XII, 15—19.

σκιὰν περιέχει μελλόντων, τίς[1]) σοφὸς[2]) καὶ ἐπὶ τοσοῦτον θεῷ φίλος, ὡς πλειόνων μηνῶν τὸν πρῶτον ἰδεῖν, καὶ τὴν δεκάτην αὐτοῦ ἡμέραν, καὶ τὰ ἑξῆς; Τί δέ με δεῖ λέγειν περὶ τῆς ἑορτῆς[3]) τῶν ἑπτὰ ἑβδομάδων ἡμερῶν, καὶ περὶ τοῦ ἑβδόμου[4]) μηνὸς, οὗ[5]) ἡ νεομηνία ἡμέρα σαλπίγγων ἐστὶ, τῇ[6]) δὲ δεκάτῃ ἡμέρα ἱλασμοῦ, τῷ μόνῳ νομοθετήσαντι αὐτὰ θεῷ ἐγνωσμένων;

---

[1]) Ed. Oxon. in notis versioni latinae adjectis: „Recepta fuit apud Judaeos sententia, tabernaculi fabricam, et omnem leviticum apparatum, orbis universi gessisse imaginem; cui suffragatur Apostolus in ep. ad Hebraeos, qui illud ἅγιον κοσμικόν appellat Hebr. IX, 1., et sacerdotis summi in die expiationis in sanctum sanctorum ingressum, Domini in coelum supremum adscensum adumbrasse profitetur. Nec inepte Origenes festorum judaicorum intervalla ad saeculorum decursum pariter extendit, suffragante eodem Apostolo, qui ex sabbato lege Mosaica instituto subinfert, relinqui *sabbatismum populo Dei*, Hebr. IV, 9. Crediderim porro Origenem pio consilio, ut Valentinianorum profana dogmata everteret, quae Aeonas creationi orbis praepositos venditabant, et totam ethnicam theogoniam una invexerant, decantatos istos Aeonas ad futura temporum spatia deflexisse: in hoc culpandus, quod Evangelii simplicitatem incrustaverat gentilis philosophiae insomniis de mundis infinitis sibi invicem succedentibus, et Academiae placitis de coelorum ad eadem puncta revolutionibus, et in magno anno Platonico rerum omnium restitutione."

[2]) Anglus: „Eodem fere modo Origenes de hac re disserit in Matth. Tom. 15. num. 31. τίς οὖν ἱκανὸς τὰς ἓξ ἡμέρας, καὶ τὴν τῆς ἀναστάσεως ἑβδόμην ἐπὶ τοιαύτας ἀναγαγεῖν ἡμέρας, καὶ μετὰ τὰ σάββατα τὰς νουμηνίας;" κτλ.

[3]) Cfr. Deut. XVI, 9. seqq.

[4]) Cfr. Levit. XXIII, 24.

[5]) Bentlejus legit: „οὗ τῇ νεομηνίᾳ." R.

[6]) Cfr. Levit. XVI, 29. 30. coll. XXIII, 27. 28. — Anglus: „Lege: ἡ δὲ δεκάτη, ἡμέρα ἱλασμοῦ, sicut praecedit: ἡ νουμηνία, ἡμέρα σαλπίγγων ἐστί." — Cfr. pag huj. not. 5.

Τίς δὲ ἐπὶ τοσοῦτον τὸν Χριστοῦ [1]) *κεχώρηκε νοῦν, ὥςτοὺς ἑβδόμους* [2]) *ἐνιαυτοὺς τῆς ἐλευθερίας τῶν Ἑβραίων οἰκετῶν, καὶ τῆς ἀφέσεως τῶν χρέων, ἀνέσεώς τε ἀπὸ γεωργίας τῆς ἁγίας γῆς ἐκλαβεῖν; Ἔστι δέ τις καὶ ἀνωτέρω τῆς διὰ ἑπτὰ* [3]) *ἐτῶν ἑορτῆς ὁ καλούμενος Ἰωβηλαῖος·* [4]) *ὅντινα κἂν ἐπὶ ποσὸν φαντασθῆναι εἶναί* [5]) *τι τρανῶς, ἢ τοὺς ἐν αὐτῷ νόμους πληρωθησομένους ἀληθινοὺς,* [6]) *οὐδενός* [7]) *ἐστι τοῦ τὴν πατρικὴν βουλὴν περὶ τῆς ἐν*

---

[1]) Forte legendum: „*θεοῦ.*“ R.

[2]) Cfr. Levit. XXV, 4—8.

[3]) Anglus: „Desideratur plane: *ἑβδομάδων*, ut sit: *ἑπτὰ ἑβδομάδων ἐτῶν.* Non enim septem anni, sed *ἑπτὰ ἔτη ἑπτάκις* constituunt Jubilaeum, Levit. XXV, 8. commemoratum.“ — Cui recte Ruaeus haec respondet: „Nihil hic desideratur. Aliud erat festum septem annorum, aliud Jubilaeus. Jubilaeus major erat festo septem annorum. Utrumque festum confudit editor Londinensis, sed apprime distinxit Origenes.“

[4]) Cfr. Levit. XXV, 8. 9. 10. seqq.

[5]) Anglus: „Delenda esse arbitror verba: *εἶναί τι.* Nam loco inepta plane sunt, et ab oscitante librario efficta videntur ex verbi praecedentis cauda.“ — Equidem nihil deleverim.

[6]) Legit Bentlejus: „*ἀληθινῶς, οὐδενός ἐστι πλὴν τοῦ τὴν πατρικήν,*“ vel: „*ἀληθινῶς, οὐδενός ἐστιν οὐ τὴν πατρικήν.*“ Claudius Fleury legit: „*εἰ μὴ τοῦ τὴν πατρικήν.*“ R.

[7]) Anglus: „Vides verbum aliquod hic deesse; lege igitur: *οὐδενός ἐστι πλὴν τοῦ κτλ.* Vult autem Christum Dei filium. Iis vero, quae de Jubilaeo hic dicit Origenes, consona sunt illa in Matth. Tom. 15. num. 31. *Τίς δὲ δύναται ἀναβῆναι ἐπὶ τὸν ἀριθμὸν τῶν τῆς ἀβύσσου ἐν τῇ πεντηκονταετηρίδι ἡμερῶν, — ἀβύσσου δὲ λέγω, διὰ τὸ βάθος τῶν δογμάτων —, ἵνα τις ἀναβῇ, καὶ ἴδῃ τὸν πεντηκοστὸν ἐνιαυτὸν, καὶ τὰ ἐν αὐτῷ νενομοθετημένα πληρούμενα;*“ *κτλ.* — Legerim cum Bentlejo et Anglo: „*οὐδενός ἐστι πλὴν τοῦ*“ *κτλ.*

ἅπασι τοῖς αἰῶσι διατάξεως κατὰ τὰ ἀνεξερεύνητα αὐτοῦ κρίματα, καὶ τὰς ἀνεξιχνιάστους αὐτοῦ ὁδοὺς τεθεωρηκότος. Πολλάκις δέ[1]) μοι ἐπῆλθεν ἀπορεῖν συγκρούοντι δύο λέξεις ἀποστολικάς, πῶς συντέλεια αἰώνων ἐστὶν, ἐφ᾽ ᾗ ἅπαξ εἰς ἀθέτησιν τῶν ἁμαρτιῶν Ἰησοῦς πεφανέρωται, εἰ μέλλουσιν εἶναι αἰῶνες μετὰ τοῦτον ἐπερχόμενοι. Ἔχουσι δὲ αἱ λέξεις αὐτοῦ οὕτως· ἐν μὲν τῇ πρὸς Ἑβραίους· „νυνὶ[2]) δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν τῶν ἁμαρτιῶν διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται·“ ἐν δὲ τῇ πρὸς Ἐφεσίους· „ἵνα[3]) ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις, τὸ[4]) ὑπερβάλλον πλῆθος[5]) τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς.“ Καὶ περὶ τηλικούτων στοχαζόμενος νομίζω, ὅτι ὥσπερ συντέλεια τοῦ ἐνιαυτοῦ ὁ τελευταῖός ἐστι μὴν,[6]) μεθ᾽ ὃν ἀρχὴ μηνὸς ἑτέρου ἐνίσταται· οὕτω μήποτε πλειόνων[7]) αἰώνων οἱονεὶ ἐνιαυτὸν αἰώνων συμ-

---

[1]) Cod. Mscr. „δέ μοι ἐπῆλθεν.“ Ed. Oxoniensis: „δή μοι ἀπῆλθεν.“ R.

[2]) Cfr. Hebr. IX, 26. [3]) Cfr. Ephes. II, 7.

[4]) Bentlejus legit: „τὸ ὑπερβάλλον πλοῦτος,“ et ita legitur in Codd. Mss. Alex. Clar. Colbert. 7 teste Millio. R. — Anglus: „In edd. Ephes. II., 7. legitur: τὸν ὑπερβάλλοντα πλοῦτον. Sed Cod. Alex. et alii habent: τὸ ὑπερβάλλον πλοῦτος, atque ita fortasse Origenes; si quidem Eusebius, qui eum fere sequitur, in Coloss. I, 27. bis legit: τί τὸ πλοῦτος, (cfr. Eccl. Theol. p. 99. et 101.), sicut et alii. Attamen cum Origenes paulo post repetat: τὸν πλοῦτον τῆς χάριτος, adducor ut credam, eum hic cum vulgatis legisse: τὸν ὑπερβάλλοντα πλοῦτον, praesertim cum sic legentem videam in Matth. Tom. 15. num. 31. et περὶ ἀρχῶν 2. 3., sicut et legit Euseb. contra Marcell. pag. 34.“

[5]) Legerim: „πλοῦτος.“ — Cfr. pag. huj. not. 4.

[6]) Cod Mscr. „μήν,“ ed. Oxon. male: „μή.“ R.

[7]) Anglus: „Eodem, quo hic, modo στοχαζόμενος Origenes Apostoli verba supra citata inter se conciliare nititur in Comm in Matth Tom. XV. num. 31. Ἐγὼ

πληρούντων, συντέλειά ἐστιν ὁ ἐνεστὼς αἰών, μεθ' ὃν μέλλοντές τινες αἰῶνες ἐνστήσονται, ὧν ἀρχή ἐστιν ὁ μέλλων, καὶ ἐν ἐκείνοις τοῖς μέλλουσιν ἐνδείξεται ὁ θεὸς τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι· τοῦ ἁμαρτωλοτάτου[1]) καὶ εἰς τὸ ἅγιον πνεῦμα δυσφημήσαντος, κρατουμένου παρὰ τῆς ἁμαρτίας ἐν ὅλῳ ἐνεστῶτι αἰῶνι, καὶ ἀρχῆθεν μέχρι τέλους τῷ μέλλοντι μετὰ ταῦτα οὐκ οἶδ' ὅπως οἰκονομησομένου.[2]) Ταῦτα

δ' οἶμαι, ὅτι ὥσπερ ἐπ' ἐξόδῳ συντελείας τοῦ ἐνιαυτοῦ εἴρηταί τινα δεῖν γίνεσθαι, οὕτως οἱονεὶ ἐπί πλειόνων αἰώνων συντελείᾳ, εἴτε ἐνιαυτόν τινα συμπληρούντων, εἴτε ὅ, τι δήποτε, εἰς ἀθέτησιν ἁμαρτίας ἐφανερώθη ὁ Ἰησοῦς ἡμῶν, ἵνα μετὰ τὴν ὡς ἐνιαυτοῦ ἡμερῶν συντέλειαν τῶν αἰώνων, πάλιν ἄλλη ἀρχὴ διαδέξηται, καὶ ἐνδείξηται ὁ θεὸς ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ, εἰς οὓς αὐτὸς οἶδε δεῖν ἐνδείξασθαι." — Cfr. ed. nostrae Tom. III. pag. 395.

[1]) Anglus: „Sic ἁμαρτωλότερος Κάϊν, Homil. 16. in Jeremiam."

[2]) Lege: „οἰκονομηθησομένου," et obiter observa, Origenem hoc loco quidpiam innuere, quod pertinet ad objectum et jure an injuria exprobratum ei dogma, diabolum ipsum aliquando fore salvandum. Confer quae ea de re disquiruntur Origenianorum lib. 2. quaestione 11. num. 16. 17. 18. et 24. R. — Anglus: „οἰκονομησομένου, id est, per oeconomiam quandam peccatorum veniam consequetur. Hanc vero suam de peccatorum etiam gravissimorum in saeculis ἐπερχομένοις remissione sententiam passim inculcat Origenes; e. c. Comm. in Joann. Tom. 19. num. 3. sub finem: Οἶδα δέ τινας, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι κρατουμένους ὑπὸ τῆς ἰδίας ἁμαρτίας, ὡς τούτους, περὶ ὧν φησιν (cfr. Matth. XII, 32. coll. Marc. III, 29. Luc. XII, 10.) ὁ λόγος· ἐὰν βλασφημήσῃ τις εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν οὔτε ἐν τούτῳ τῷ αἰῶνι,

τοίνυν ὁ ἰδὼν, καὶ τῇ διανοίᾳ αἰώνων ἑβδομάδα, ἵνα σαββατισμόν τινα ἅγιον θεωρήσῃ, ἐννοήσας, καὶ αἰώνων μῆνα, ἵνα τὴν ἁγίαν τοῦ θεοῦ ἴδῃ νουμηνίαν· καὶ αἰώνων ἐνιαυτὸν, ἵνα συνίδῃ τὰς τοῦ ἐνιαυτοῦ τε ἑορτὰς, ὅτε [1]) δεῖ πᾶν [2]) ἀρσενικὸν ἐνώπιον φαίνεσθαι κυρίου θεοῦ· καὶ τηλικούτων αἰώνων τοὺς ἀνάλογον ἐνιαυτοὺς, ἵνα τὸ ἕβδομον ἅγιον ἔτος καταλαμβάνῃ· καὶ αἰώνων ἑβδοματικοὺς [3]) ἑπτὰ, ὅπως ὑμνήσῃ τὸν

οὔτε ἐν τῷ μέλλοντι· οὐ μέντοι γε εἰ μὴ ἐν τῷ μέλλοντι αἰῶνι, ἤδη οὐδὲ ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις. Itidem in Matth. Tom. XV. num. 31. Καὶ τάχα, ἵνα τολμηρότερον εἴπω, εἰς μὲν τοὺς αἰῶνας οὐκ ἀπώσεται κύριος· — πολὺ γὰρ καὶ εἰς ἕνα αἰῶνα ἀπώσασθαι κύριον· — ἀπώσεται δὲ τάχα καὶ εἰς δεύτερον αἰῶνα, ὅτι οὐκ ἀφίεται ἡ τοιάδε ἁμαρτία οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. Et contra Celsum lib. V. num. 16. Ὁ λόγος οὖν μόνους μὲν ἀγεύστους τοῦ πυρὸς καὶ τῶν κολάσεών φησι διαμενεῖν, τοὺς τὰ δόγματα, καὶ τὰ ἤθη, καὶ τὸ ἡγεμονικὸν ἄκρως κεκαθαρμένους· τοὺς δὲ μὴ τοιούτους, κατὰ τὴν ἀξίαν χρῄζοντας τῆς διὰ πυρὸς κολάσεως οἰκονομίας, ἐν τούτοις ἐπί τινι τέλει φησὶν ἔσεσθαι, ὃ τῷ θεῷ ἁρμόζει ἐπάγειν τοῖς κατ' εἰκόνα αὐτοῦ πεποιημένοις, καὶ παρὰ τὸ βούλημα τῆς κατ' εἰκόνα φύσεως βεβιωκόσι. Hanc autem Origenis opinionem his verbis perstringit (Comm. in Matth. ap. Montfauc. Collect. Nov. Patr. Tom. 2. pag. 38.) Athanasius: — ἐγκαλεῖται ὁ ἄθλιος Ὠριγένης, τέλος κηρύττων τῆς κολάσεως, ὡς συγχώρησιν πάσης ἁμαρτίας γενέσθαι καὶ τοῖς ἀνθρώποις καὶ τοῖς δαίμοσι παρὰ θεοῦ. Confer. Huet. Origenian. lib. II. quaest. 11."

[1]) Anglus: „In Cod. quidem scribitur: δή, uti habet ed. Oxoniensis; nos vero sententiae causa manifestum librarii sphalma in δεῖ corrigere non dubitavimus."

[2]) Cfr. Deut. XVI, 16.

[3]) Cod. Mscr. „ἑβδοματικούς. Ed. Oxon. „ἑβδοματικῶς." Bentlejus legit: „ἑβδομαδικούς." R. — Anglus:

τηλικαῦτα νομοθετήσαντα, ἐξετάσας· πῶς δύναται μικρολογῆσαι περὶ τοῦ ἐλαχίστου μορίου ὥρας τῆς τοῦ τηλικούτου αἰῶνος ἡμέρας, καὶ οὐχὶ πάντα ποιήσει, ἵνα ἀπὸ τῆς ἐνταῦθα παρασκευῆς ἄξιος γενόμενος τοῦ τυχεῖν τοῦ ἐπιουσίου ἄρτου ἐν τῇ „σήμερον[1]) ἡμέρᾳ, λάβῃ αὐτὸν καὶ „καθ'[2]) ἡμέραν;" Ἤδη[3]) σαφοῦς ἐκ τῶν προειρημένων γινομένου τοῦ „καθ'[4]) ἡμέραν·" τῷ γὰρ ἐξ ἀπείρων ἐπ' ἄπειρον ὄντι θεῷ, οὐ μόνον περὶ[5]) τῆς σήμερον,[6]) ἀλλὰ καί πως τοῦ καθ'[7]) ἡμέραν ὁ σήμερον εὐχόμενος, ἀπὸ τοῦ δυνατοῦ[8]) δωρήσασθαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα, ἢ νοοῦμεν, λαβεῖν οἷός τε ἔσται, ἵν' οὕτως ὑπερβολικῶς εἴπω, καὶ τὰ ὑπὲρ ἃ[9]) ὀφθαλμὸς οὐκ εἶδε, καὶ τὰ ὑπὲρ ἃ οὖς οὐκ ἤκουσε, καὶ τὰ ὑπὲρ ἃ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Καὶ ταῦτα[10]) δέ μοι δοκεῖ ἀναγκαιότατα ἐξητάσθαι, ἵνα τό τε „σήμερον"[11]) νοηθῇ, καὶ τὸ „καθ'[12]) ἡμέραν," ὅτε τὸν ἐπιούσιον ἄρτον δοθῆναι ἡμῖν

„Scilicet: ἐνιαυτούς, quod a librario omissum videtur. Lego igitur: ἑβδοματικοὺς ἑπτὰ ἐνιαυτούς. Vult autem αἰώνων Jubilaeum."

[1]) Cfr. Matth. VI, 11. [2]) Cfr. Luc. XI, 3.

[3]) Anglus: „Nempe quod, cum τὸ σήμερον, — ut in ante dictis ostendit —, τὸν ἐνεστῶτα αἰῶνα denotet, τὸ καθ' ἡμέραν, consequenter πάντας τοὺς μέλλοντας αἰῶνας designet."

[4]) Cfr. Luc. XI, 3.

[5]) Lego cum Bentlejo: „περὶ τοῦ σήμερον." R. — Item fere, nec male, Anglus: „Lege: περὶ τοῦ σήμερον, prout sequitur: τοῦ καθ' ἡμέραν. Ita vero paulo post: ἵνα τό τε σήμερον νοηθῇ, καὶ τὸ καθ' ἡμέραν."

[6]) Cfr. Matth. VI, 11. [7]) Cfr. Luc. XI, 3.

[8]) Cfr. Ephes. III, 20.

[9]) Cfr. I Cor. II, 9. coll. Jesai. LXIV, 4.

[10]) Cod. Mscr. „ταῦτα δέ μοι," ed. Oxon. „ταῦτα δή μοι." R.

[11]) Cfr. Matth. VI, 11. [12]) Cfr. Luc. XI, 3.

ἀπὸ πατρὸς αὐτοῦ [1]) *εὐχόμεθα. Εἰ* [2]) *κατὰ τελευταῖον δὲ βιβλίον πρότερον ἐξητάσαμεν, τὸ „ἡμῶν·* [3])“ *ἐπεὶ λέγεται οὐχί· „τὸν* [4]) *ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·“ ἀλλά· „τὸν* [5]) *ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν καθ' ἡμέραν·“ ὅμως τε ἐξεταστέον, πῶς ἡμῶν ἐστιν ὁ ἄρτος οὗτος. Διδάσκει* [6]) *δὴ ὁ ἀπόστολος, ὅτι „εἴτε* [7]) *ζωή, εἴτε θάνατος, εἴτε μέλλοντα, πάντα τῶν ἁγίων* [8]) *ἐστί.“ Περὶ οὗ οὐκ ἀναγκαῖον ἐπὶ τοῦ παρόντος λέγειν.*

28. *„Καὶ* [9]) *ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν* [10]) *τοῖς ὀφειλέταις ἡμῶν·“ ἢ ὡς ὁ Λουκᾶς· „καὶ* [11]) *ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφήκαμεν* [12]) *παντὶ ὀφείλοντι ἡμῖν.“ Περὶ*

---

[1]) Anglus: „Dormitans plane hoc scripsit librarius pro: *ἡμῶν*. Ea vero, quae sequuntur: *Εἰ καὶ τελευταῖον κτλ.*, ad finem usque sectionis, ita corrupit mutilavitque, ut quid revera scripserit Origenes, quidve in iis sibi voluerit, satis assequi nequeamus. Missis igitur nostris hic conjecturis, totum tibi locum pro tuo ingenio enodandum emendandumque relinquimus.“

[2]) Edd. Oxon. et R. in textu: *„εἰ καὶ τελευταῖον δὲ βιβλίον πρότερον ἐξετάσομεν,“* ed. vero R. in notis: „Lego: *εἰ κατὰ τελευταῖον δὲ βιβλίον πρότερον ἐξητάσαμεν.*“

[3]) Cfr. Luc. XI, 3. coll. Matth. VI, 11.

[4]) Cfr. Matth. VI, 11. [5]) Cfr. Luc. XI, 3.

[6]) Cod. Mscr. *„διδάσκει δή.“* Ed. Oxoniensis: *„διδάσκει δέ.“* R.

[7]) Cfr. I Cor. III, 22.

[8]) Edd. Oxon. et R. in textu: *„ἁγίων ἐστιν· οὐκ ἀναγκαῖον,“* ed. vero R. in notis: „Lego: *ἁγίων ἐστι. Περὶ ὧν*, vel: *Περὶ οὗ οὐκ ἀναγκαῖον*“ *κτλ.*

[9]) Cfr. Matth. VI, 12.

[10]) Anglus: „Ita etiam lectum supra num. 18. Sed in edd. Matth. VI, 12. rectius legitur: *ἀφίεμεν.*“

[11]) Cfr. Luc. XI, 4.

[12]) Anglus: „Edd. Luc. XI, 4. habent: *ἀφίεμεν*, atque ita ipse Origenes supra num. 18.“

τῶν ὀφειλημάτων[1]) καὶ ὁ ἀπόστολος λέγει· „ἀπόδοτε[2]) πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὴν τιμὴν, τὴν τιμήν. Μηδενὶ μηδὲν ὀφείλετε,[3]) εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾷν.“ Ὀφείλομεν τοιγαροῦν ἔχοντές τινα καθήκοντα οὐ μόνον ἐν τῇ δόσει, ἀλλὰ καὶ λόγῳ προςηνεῖ, καὶ τοῖςδέ[4]) τισι τοῖς ἔργοις· ἀλλὰ καὶ διάθεσίν τινα τοιάνδε ὀφείλομεν ἔχειν πρὸς[5]) αὐτούς. Ταῦτα δὴ[6]) ὀφείλοντες, ἤτοι ἀποδίδομεν διὰ τοῦ ἐπιτελεῖν τὰ προστασσόμενα ὑπὸ τοῦ θείου νόμου, ἢ τῷ καταφρονεῖν τοῦ ὑγιοῦς λόγου, μὴ ἀποδιδόντες μένομεν ἐν τῷ ὀφείλειν. Τὸ παραπλήσιον δὲ νοητέον ἐν τοῖς πρὸς τοὺς ἀδελφοὺς ὀφειλήμασι, τούς τε κατὰ τὸν τῆς θεοσεβείας λόγον ἐν Χριστῷ ἡμῖν συναναγεγεννημένους,[7]) καὶ τοὺς ὁμομητρίους ἢ ὁμοπατρίους ἡμῖν. Ἔστι τις καὶ πρὸς πολίτας ὀφειλὴ, καὶ ἄλλη κοινὴ πρὸς πάντας ἀνθρώπους, ἰδία[8]) μὲν ξένους, ἰδία δὲ καὶ ἡλικίαν πατέρων ἔχοντας· καὶ ἄλλη πρός τινας, οὓς εὔλογον ὡς υἱοὺς ἢ ὡς ἀδελφοὺς τιμᾷν. Ὁ οὖν τὰ ὀφειλόμενα ἀδελφοῖς ἐπιτελεῖσθαι μὴ ποιῶν, μένει ὀφειλέτης ὧν μὴ πεποίηκεν. Οὕτως δὲ, εἰ καὶ ἀνθρώποις ἀπὸ τοῦ φιλανθρώπου τῆς σοφίας πνεύματος ἐπιβαλλόντων τινῶν ἀφ' ἡμῶν ἐλλείποιμεν,[9]) πλείων γίνεται ἡ ὀφειλή.

---

1) Anglus: „Scripsit librarius: λειμμάτων.“

2) Cfr. Rom. XIII, 7. 8.

3) Cod. Mscr. „ὀφείλετε,“ ed. Oxon. „ὀφείλητε.“ R.

4) Anglus non male: „Lege: τοιοῖσδέ τισι τοῖς ἔργοις.“

5) Bentlejo legendum videtur vel: „πρὸς ἀνθρώπους,“ vel: „πρὸς ἀλλήλους.“ R.

6) Anglus: „Lege: δέ.“

7) Anglus: „Cod. Mscr. male: συναναγεννημένους.“

8) Lego: „ἰδία πρὸς ξένους, ἰδία δὲ καὶ πρὸς τοὺς ἡλικίαν“ κτλ. R. — Legerim: „ἰδία μὲν πρὸς ξένους, ἰδία δὲ καὶ πρὸς τούς“ κτλ.

9) Forte: „ἐλλείπομεν.“ R.

Ἀλλὰ καὶ ἐν τοῖς εἰς ἡμᾶς αὐτοὺς, ὀφείλομεν τῷ μὲν σώματι οὑτωσὶ χρῆσθαι, οὐχὶ εἰς τὸ κατατρίβειν σάρκας σώματος διὰ τῆς φιληδονίας· ὀφείλομεν δὲ καὶ τῇ ψυχῇ τήνδε τὴν ἐπιμέλειαν προσάγειν, καὶ τοῦ νοῦ τῆς ὀξύτητος πρόνοιαν ποιεῖσθαι, τοῦ τε λόγου, ἵν' [1]) ἄκεντρος καὶ ὠφέλιμος ᾖ, καὶ μηδαμῶς ἀργός. Ἐπὰν δὴ [2]) καὶ τὰ εἰς ἡμᾶς ὑφ' ἡμῶν αὐτῶν ὀφειλόμενα μὴ πράττωμεν, βαρύτερον ἡμῖν τὸ ὄφλημα [3]) γίνεται. Καὶ ἐπὶ τούτοις πᾶσι, τὸ ὑπὲρ πάντα ποίημα καὶ πλάσμα ὄντες τοῦ θεοῦ, ὀφείλομέν τινα διάθεσιν σώζειν πρὸς αὐτὸν, [4]) καὶ ἀγάπην [5]) τὴν ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης ἰσχύος, καὶ ἐξ ὅλης διανοίας· ἅτινα ἐὰν μὴ κατορθώσωμεν, ὀφειλέται μένομεν θεοῦ, ἁμαρτάνοντες εἰς κύριον. Καὶ τίς ἐπὶ τούτοις εὔξεται περὶ ἡμῶν; „Ἐὰν [6]) γὰρ ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξηται [7]) περὶ αὐτοῦ· ἐὰν εἰς κύριον ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ;" ὥς φησιν ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν ὁ Ἠλεί. [8]) Ἀλλὰ καὶ Χριστοῦ ὠνησαμένου ἡμᾶς τῷ ἰδίῳ [9]) αἵματι ὀφειλέται ἐσμὲν, ὥσπερ καὶ πᾶς

---

[1]) Cod. Mscr. optime: „ἵν' ἄκεντρος." Ed. Oxon. „ἵνα κέντρος." R. — Anglus: „*Sine aculeo*, id est, innocuus, lenis, benignus; qui maledictorum et contumeliarum aculeis vacet, atque audientes adeo non angat laedatque, ut eos lenitate sua delectet. Ed. vero Oxon. hic exhibuit: ἵνα κέντρος, quae nihili plane sunt."

[2]) Anglus: „Lege: δέ."

[3]) Cod. Mscr. „ὄφλημα." Ed. Oxon. „ὀφείλημα." R.

[4]) Cod. Mscr. „αὐτόν." Ed. Oxon. „αὐτούς." R.

[5]) Cfr. Marc. XII, 30. coll. Deut. VI, 5.

[6]) Cfr. I Sam. II, 25. (I Regg.)

[7]) Anglus non male: „Lege: προσεύξονται. Sic habent edd. LXX. virorum version., atque ita postea (in fine huj. num. 28.) repetit Origenes. Negligens vero librarius hic scripsit: προσεύξηται, ut et ἐὰν εἰς pro: ἐὰν δὲ εἰς in sequentibus."

[8]) Cod. Mscr. „Ἠλεί." Ed. Oxon. „Ἠλί." R.

[9]) Cfr. Act. XX, 28.

οἰκέτης τοῦ ὠνησαμένου ἐστὶν ὀφειλέτης, τοῦ τοσοῦδε δοθέντος ὑπὲρ αὐτοῦ χρήματος. Ἔστι [1]) τις ἡμῖν καὶ πρὸς τὸ ἅγιον [2]) πνεῦμα ὀφειλὴ ἀποδιδομένη, ὅτε οὐ λυποῦμεν [3]) αὐτὸ, ἐν ᾧ ἐσφραγίσθημεν εἰς ἡμέραν ἀπολυτρώσεως· καὶ μὴ λυποῦντες αὐτὸ, φέρομεν τοὺς καρποὺς, οὓς ἀπαιτούμεθα, [4]) συνόντος αὐτοῦ ἡμῖν καὶ ζωοποιοῦντος ἡμῶν τὴν ψυχήν. Εἰ καὶ μὴ ἴσμεν δὲ ἐπιμελῶς, τίς ὁ ἑκάστου ἡμῶν ἄγγελος [5]) βλέπων τοῦ ἐν οὐρανοῖς πατρὸς τὸ πρόσωπον, ἀλλὰ φανερόν γε ἐπισκοπήσαντι ἑκάστῳ ἡμῶν γίνεται, ὅτι κἀκείνῳ ὀφειλέται τινῶν ἐσμεν. Εἰ δὲ καὶ ἐν θεάτρῳ [6]) ἐσμὲν κόσμου, καὶ ἀγγέλων, καὶ ἀνθρώπων, ἰστέον, ὅτι ὥσπερ [7]) ὁ ἐν θεάτρῳ ὀφειλέτης ἐστὶ τοῦ τάδε τινὰ εἰπεῖν ἢ ποιῆσαι ἐν ὄψει τῶν θεατῶν, ἅπερ μὴ πράξας τις, ὡς τὸ πᾶν ὑβρίσας θέατρον, κολάζεται· οὕτως καὶ ἡμεῖς τῷ ὅλῳ κόσμῳ, καὶ τοῖς πᾶσιν ἀγγέλοις, τῷ τε τῶν ἀνθρώπων γένει ὀφείλομεν ταῦτα, ἃ βουληθέντες ἀπὸ τῆς σοφίας μαθησόμεθα. Χωρὶς δὲ τούτων καθολικωτέρων ὄντων, ἔστι τις χήρας προνοουμένης ὑπὸ τῆς ἐκκλησίας ὀφειλὴ, καὶ ἑτέρα διακόνου, καὶ ἄλλη πρεσβυτέρου, καὶ ἐπισκόπου δὲ ὀφειλὴ [8]) βαρυτάτη ἐστὶν ἀπαιτουμένη ὑπὸ

---

[1]) Anglus: „Hic quoque omitti videtur: δέ. Nam aptius certe legas: Ἔστι δέ τις“ κτλ.

[2]) Cfr. I Cor. VI, 19. 20.

[3]) Cfr. Ephes. IV, 30.

[4]) Cod. Mscr. „ἀπαιτούμεθα.“ Ed. Oxon. „ἐπαιτούμεθα.“ R.

[5]) Quid de angelis tutelaribus opinatus sit Origenes, fuse disquiritur Origenianorum lib. 2. quaest. 5. num. 26—31. R. — Cfr. Matth. XVIII, 10.

[6]) Cfr. I Cor. IV, 9.

[7]) Cod. Mscr. „ὥσπερ ὁ ἐν θεάτρῳ.“ Ed. Oxon. „ὥσπερ ἐν θεάτρῳ.“ R.

[8]) Anglus: „His gemina habet Origenes in Homil. 11. in Jeremiam: Πλεῖον ἐγὼ (πρεσβύτερος) ἀπαιτοῦμαι παρὰ τὸν διάκονον, πλεῖον ὁ διάκονος παρὰ τὸν λαϊ-

τοῦ τῆς ὅλης ἐκκλησίας σωτῆρος,[1]) *καὶ ἐκδικουμένη εἰ μὴ ἀποδιδῶτο.*[2]). *Ἤδη δὲ ὁ ἀπόστολος ὀφειλήν τινα κοινὴν ὠνόμασεν ἀνδρὸς καὶ γυναικὸς, λέγων· „τῇ*[3]) *γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω· ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί." Καὶ ἐπιφέρει· „μὴ*[4]) *ἀποστερεῖτε ἀλλήλους." Καὶ τί με δεῖ λέγειν, παρὸν*[5]) *τὰ ἑαυτῶν ἀναλέγεσθαι ἐκ τῶν εἰρημένων τοὺς ἐντυγχάνοντας τῇδε τῇ γραφῇ, ὅσα ὀφείλοντες, ἤτοι μὴ ἀποδιδόντες κατασχεθησόμεθα, ἢ ἀποδιδόντες ἐλευθερωθησόμεθα; Πλὴν οὐκ ἔστιν ἐν τῷ βίῳ ὄντα, πάσης ὥρας νυκτὸς καὶ ἡμέρας μὴ ὀφείλειν. Ἀλλ' ἐν τῷ ὀφείλειν, ἤτοι ἀποδίδωσί τις, ἢ ἀποστερεῖ τὴν ὀφειλήν· καὶ δυνατόν γε ἐν τῷ βίῳ ἀποδιδόναι, δυνατὸν δὲ καὶ ἀποστερεῖν. Καί τινες μὲν οὐδενὶ ὀφείλουσιν οὐδέν· τινὲς δὲ τὰ πλεῖστα*[6]) *ἀποτίνυντες, ὀλίγα ὀφείλουσι· τινὲς δὲ ὀλίγα*

κόν· ὁ δὲ τὴν πάντων ἡμῶν ἐγκεχειρισμένος ἀρχὴν (ἐπίσκοπος) ἐπὶ πλεῖον ἀπαιτεῖται. Et Homil. 5. in Ezechielem: Majorem poenam habet, qui ecclesiae praesidet, et delinquit. An non magis misericordiam promeretur ad comparationem fidelis Catechumenus? non magis venia dignus est Laicus, si ad Diaconum conferatur? et rursum comparatione Presbyteri Diaconus veniam plus meretur?"

[1]) Legit Bentlejus: „*σώματος.*" R.

[2]) Anglus: „Lege: *ἀποδιδῶται*, vel: *ἀποδιδοῖτο.*"

[3]) Cfr. I Cor. VII, 3. [4]) I Cor. VII, 5.

[5]) Edd. Oxon. et R. in textu: „*παρόντα ἑαυτῷ ἀναλέγεσθαι ἐκ τῶν εἰρημένων τοῦ ἐντυγχάνοντος,*" ed. vero R. in notis: „Lego cum Bentlejo: *παρὸν τὰ ἑαυτῶν ἀναλέγεσθαι ἐκ τῶν εἰρημένων τοὺς ἐντυγχάνοντας.*" — Anglus: „Lege: *τῷ ἐντυγχάνοντι.*"

[6]) Edd. Oxon. et R. in textu: „*πλεῖστα ἀποτίννυντες* (non, ut nos exhibuimus: *ἀποτίνυντες*) *ὀλίγα ἀποδιδόντες, τὰ πλείονα*" *κτλ.*, ed. vero R. recte, ut videtur, in notis: „Aliquid videtur excidisse, et sic legendum: *πλεῖστα ἀποτίνυντες, ὀλίγα ὀφείλουσι· τινὲς δὲ ὀλίγα ἀποδιδόντες, τὰ πλείονα*" *κτλ.*

ἀποδιδόντες, τὰ πλείονα ὀφείλουσι· καὶ τάχα ἐστὶν ὁ μηδὲν ἀποδιδοὺς, ἀλλὰ πάντα ὀφείλων. Καὶ ὁ ἀποδιδοὺς μέντοι γε πάντα, ὥστε[1]) μηδὲν ὀφείλειν, χρόνῳ ποτὲ τοῦτο κατορθοῖ, δεόμενος ἀφέσεως περὶ τῶν προτέρων ὀφειλῶν· ἧστινος ἀφέσεως εὐλόγως δύναται τυχεῖν ὁ φιλοτιμησάμενος ἀπό τινος χρόνου τοιοῦτος γενέσθαι, ὥστε μηδὲν ὀφείλειν τῶν ἐπιβαλλόντων ὡς οὐκ ἀποδιδομένων.[2]) Αὗται δὲ αἱ παράνομοι ἐνέργειαι ἐν[3]) τῷ ἡγεμονικῷ τυπούμεναι, τὸ καθ' ἡμῶν γίνονται χειρόγραφον,[4]) ἀφ' οὗ δικασθησόμεθα, δίκην

---

[1]) Anglus: „Ad eundem modum disserit Origenes Hom. 14. in Jeremiam: Ὁ μὲν πᾶσιν ἀποδιδοὺς τὰς ὀφειλὰς, τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν· καὶ πᾶσι τὰ καθήκοντα ἀποδιδοὺς, ὡς μὴ ὀφείλειν τὰ προσήκοντα πρός τινας, τιμήσας τοὺς γονεῖς, ὡς γονεῖς· ἀδελφοὺς, ὡς ἀδελφούς· υἱοὺς, ὡς υἱούς· ἐπισκόπους, ὡς ἐπισκόπους· πρεσβυτέρους, ὡς πρεσβυτέρους· διακόνους, ὡς διακόνους· πιστοὺς, ὡς πιστούς· κατηχουμένους, ὡς κατηχουμένους· εἰ πάντα ἀποδίδωσι τὰ καθήκοντα, οὐκ ὠφείλησεν" κτλ.

[2]) Edd. Oxon. et R. in textu: „ἀποδιδομένοις," ed. vero R. in notis: „In Cod. Mscr. prima manu scriptum est: ἀποδιδομεν ς, et altera recentiori inter ν et ς additum est οι, quasi prius scriptum fuerit: ἀποδιδομένοις, pro quo tamen legendum videtur: ἀποδιδομένων." — Item Anglus: „Lege: ἀποδιδομένων."

[3]) Anglus: „Idem fere dicit Origenes Homil. 16. in Jeremiam: τὰ ἁμαρτήματα, ἃ ἁμαρτάνομεν, ἐγγράφεται εἰς ἡμᾶς διὰ τοῦ ἁμαρτάνειν, —· ποιήσας αὐτὴν (scil. ἁμαρτίαν), ἔχω τύπον αὐτῆς, καὶ οἱονεὶ γέγραπται ὁ τύπος ἁμαρτίας τῆς ἡμαρτημένης ἐν τῇ ψυχῇ μου. Et Hom. 15. ἕκαστος ἡμῶν ὀφειλέτης ἐστὶ ταῖς ἁμαρτίαις, καὶ ὀφειλέτης ἐστὶν ἔχων χειρόγραφον" κτλ.

[4]) Coloss. II, 14.

βίβλων τῶν ὑπὸ πάντων, ἵν' οὕτως εἴπω, κεχειρογραφημένων, προαχθησόμενον,[1]) *ὅτε „πάντες*[2]) *παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον."*[3]) *Κατὰ ταύτας τὰς ὀφειλὰς καὶ τὸ ἐν ταῖς Παροιμίαις λέγεται·*[4]) *„μὴ*[5]) *δίδου σεαυτὸν εἰς ἐγγύην ὁ*[6]) *αἰσχυνόμενος πρόσωπον· εἰ γὰρ οὐχ*[7]) *ἕξει πόθεν ἀποδώσει, λήψονται τὸ σὸν στρῶμα τὸ ὑπὸ τὰς πλευράς σου." Εἰ δὲ τοσούτοις ὀφείλομεν, πάντως καὶ ἡμῖν τινες ὀφείλουσιν· οἱ μὲν γὰρ ὀφείλουσιν ἡμῖν ὡς ἀνθρώποις, οἱ δὲ ὡς πολίταις· ἄλλοι δὲ ὡς πατράσι· καί τινες ὡς υἱοῖς· καὶ κατὰ τούτους, ὡς ἀνδράσι γυναῖκες, ἢ ὡς φίλοις φίλοι.*[8]) *Ἐπὰν οὖν ἀπὸ τῶν πλείστων ἡμῖν ὀφειλετῶν ἀσθενέστερόν*[9]) *τινες περὶ τὴν*

---

[1]) Edd. Oxon. et R. in textu: „*προαναχθησομένων*," ed. vero R. in notis: „Legit Bentlejus: *προαχθησόμενον*. Ego malim: *προαχθησομένου*." — Anglus: „Lege: *προαχθησόμενον*, scil. *χειρόγραφον*, *ἀφ' οὗ δικασθησόμεθα*."

[2]) Cfr. II Cor. V, 10. coll. Rom. XIV, 10.

[3]) Anglus: „Ita quoque legit Origenes in Jerem. Homil. 19., et in Matth. Tom. 12. num. 30. et Tom. 13. num. 30., at edd. II Cor. V, 10. habent: *κακόν*."

[4]) Cod. Mscr. „*λέγεται*." Ed. Oxon. „*λέγηται*." R. — Anglus: „Cod. Mscr. *λέγηται*."

[5]) Cfr. Prov. XXII, 27.

[6]) Anglus: „In Cod. perperam scribitur: *ὁ αἰσχυνόμενος*, et mox: *ἕξει* — *ἀποδώσει*, sensu nullo. Hoc igitur scribae sphalma ex edd. LXX virorum vers. corrigere non dubitamus legendo: *εἰς ἐγγύην αἰσχυνόμενος πρόσωπον· εἰ γὰρ οὐχ ἕξεις πόθεν ἀποδώσῃς*."

[7]) Sic habet Cod. Mscr. Editio autem Oxoniensis: „*οὐκ ἔχῃς πόθεν ἀποδώσῃς*." R. — Cfr. pag. huj. not. 6.

[8]) Edd. Oxon. et R. in textu: „*φίλος*," ed. vero R. in notis: „Lego cum Bentlejo: *φίλοι*."

[9]) Bentlejus legit: „*ἀθενέστερόν* (?) *τινες*," vel: „*ἀμελέστερόν τινες*." R.

ἀπόδοσιν τῶν πρὸς ἡμᾶς καθηκόντων ἀναστραφῶσι, φιλανθρωπότερον ποιήσομεν ἀμνησικάκως ἐνεχθέντες πρὸς αὐτοὺς, καὶ ἰδίων μεμνημένοι ὀφειλῶν, ὅσας πολλάκις παραλελοίπαμεν οὐ μόνον πρὸς ἀνθρώπους, ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν θεόν. Μεμνημένοι γὰρ ὧν ὀφειλέται ὄντες οὐκ ἀποδεδώκαμεν, ἀλλὰ ἀπεστερήσαμεν παραδραμόντος [1]) τοῦ χρόνου, ἐν ᾧ ἐχρῆν ἡμᾶς τάδε τινὰ πρὸς τὸν πλησίον πεποιηκέναι, πραότεροι ἐσόμεθα πρὸς τοὺς καὶ ἡμῖν ὀφλήσαντας, καὶ μὴ ἀποδεδωκότας τὴν ὀφειλήν· καὶ μάλιστα ἐὰν μὴ ἐπιλανθανώμεθα τῶν εἰς τὸ θεῖον ἡμῖν παρανενομημένων, καὶ [2]) τῆς εἰς τὸ ὕψος ἀδικίας ἡμῖν λελαλημένης, ἤτοι κατὰ ἄγνοιαν τῆς ἀληθείας, [3]) ἢ κατὰ δυσαρέστησιν τὴν πρὸς τὰ συμβάντα ἡμῖν περιστατικά. Εἰ δὲ μὴ βουλόμεθα πραΰτεροι γίνεσθαι πρὸς τοὺς ἡμῖν ὀφλήσαντας, πεισόμεθα τὰ τοῦ τὰ ἑκατὸν δηνάρια τῷ ὁμοδούλῳ μὴ συγχωρήσαντος, ὅντινα προσυγχωρηθέντα κατὰ τὴν κειμένην ἐν τῷ εὐαγγελίῳ παραβολὴν, ἐνειλήσας [4]) ἐκπράσσει

---

[1]) Cod. Mscr. „παραδραμόντος." Ed. Oxon. „παραδραμόντες." R.

[2]) Bentlejus legit: „καὶ τῶν εἰς τὸ ὕψος ἀδικίας ἡμῖν λελαλημένων, ἤτοι κατὰ ἄγνοιαν τοῦ ἀληθοῦς, ἢ κατά" κτλ. Ego tantum mutari velim: „τῆς ἀληθοῦς," his verbis: „τῆς ἀληθείας." R. —

[3]) Edd. Oxon. et R. in textu: „ἀληθοῦς." — Anglus: „In Cod. Mscr. perperam scribitur: ἀληθοῦς. Scribe: ἀληθείας." — Cfr. pag. huj. not. 2.

[4]) Legit Bentlejus: „ἀνηλεῶς." R. — Anglus: „ἐνειλήσας, id est: ζημιώσας· ἐνείληται, id est: ἐζημίωται. Hesych. Hujus vero significatus exempla nobis non succurrunt. Hoc igitur a librario temere scriptum mihi videtur pro: ἀπειλήσας, id est: μετ' ὀργῆς ἐπιπλήξας, *iracunde et minaciter increpans*, quod ad locum apte quadrat. Est enim ἀπειλὴ, ἡ μετὰ ὀργῆς ἐπίπληξις, et κακοῦ ὑπόσχεσις, uti nos docet Etymologici magni auctor."

ὁ δεσπότης τὰ προσυγκεχωρημένα, λέγων αὐτῷ· „πονηρὲ[1]) δοῦλε, καὶ ὀκνηρὲ, οὐκ ἔδει ἐλεῆσαί σε τὸν σύνδουλόν σου, ὡς κἀγώ σε ἠλέησα; Βάλετε αὐτὸν εἰς τὴν φυλακὴν, ἕως ἀποδῷ πᾶν τὸ ὀφειλόμενον.“ Ἐπιφέρει δὲ τούτοις ὁ κύριος· „οὕτως[2]) καὶ ὑμῖν[3]) ὁ πατὴρ ὁ οὐράνιος ποιήσει, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν.“ Λέγουσι μέντοι γε μετανοεῖν τοῖς εἰς ἡμᾶς ἡμαρτηκόσιν ἀφετέον, κἂν πολλάκις τοῦτο ὁ ὀφειλέτης ἡμῶν ποιῇ· „ἐὰν[4]) γὰρ ἑπτάκις[5]) τῆς ἡμέρας ἁμάρτῃ, φησὶν, εἰς σὲ ὁ ἀδελφός σου, καὶ ἑπτάκις[6]) ἐπιστρέψῃ, λέγων· μετανοῶ· ἀφήσεις αὐτῷ.“ Οὐχ ἡμεῖς δὲ χαλεποὶ πρὸς τοὺς μὴ μετανοοῦντας, ἀλλ' ἑαυτοῖς οἱ τοιοῦτοί εἰσι πονηροί· „ὁ[7]) γὰρ ἀπωθούμενος παιδείαν, μισεῖ ἑαυτόν·“ Πλὴν καὶ ἐπὶ[8]) τῶν ποιούντων, τὴν θεραπείαν παντὶ τρόπῳ ζητητέον ἐγγενέσθαι[9]) τῷ τὰ πάντα διαστραφέντι,

---

[1]) Cfr. Matth. XVIII, 32—34. — Anglus: „Verba: καὶ ὀκνηρέ, in loco citato, Matth. XVIII, 32., non exstant, sed e consimili, quod assolet, loco, Matth. XXV, 26. ab Origene huc traducta sunt: ubi tamen rectius omitti poterant; cum servi hic saevitia tantum, non, ut in altero loco, ignavia quoque a domino reprehendatur.“

[2]) Matth. XVIII, 35.

[3]) Anglus: „Cod. Mscr. male: ἡμῖν.“

[4]) Cfr. Luc. XVII, 4.

[5]) Anglus: „In Cod. perperam scribitur: ἑπτά.“

[6]) Anglus: „In Cod. perperam scribitur: ἑπτά.“

[7]) Cfr. Prov. XV, 32.

[8]) Legit Bentlejus: „ἐπὶ τῷ τοιούτῳ.“ Sed forte legi etiam potest: „ἐπὶ τῶν τοιούτων.“ R. — Cum Ruaeo legerim: „ἐπὶ τῶν τοιούτων.“

[9]) Anglus, qui cum editore Oxoniensi ita interpunxit: „πλὴν καὶ ἐπὶ τῶν ποιούντων τὴν θεραπείαν παντὶ τρόπῳ ζητητέον, ἐγγενέσθαι,“ haec addit voci: „ἐγγενέσθαι:“ „Scil. θεραπείαν. Legendum igitur opinor: ἐγγενέσθαι αὐτὴν τῷ κτλ. — Ad quae quidem Ruaeus haec respondet: „Nos vero hunc locum ita interpunximus, ut nihil opus sit ejusmodi emendatione.“

ὡς μηδὲ συναισθέσθαι τῶν ἰδίων κακῶν, μεθύειν δὲ μέθην ὀλεθριωτέραν τῆς ἀπὸ οἴνου, τὴν ἀπὸ τοῦ σκοτισμοῦ τῆς κακίας. Ὁ δὲ Λουκᾶς εἰπών· „ἄφες[1]) ἡμῖν τὰς ἁμαρτίας ἡμῶν·“ — ἐπεὶ τὰ ἁμαρτήματα ὀφειλόντων ἡμῶν,[2]) καὶ μὴ ἀποδιδόντων, συνίσταται· — τὸ αὐτὸ λέγει τῷ Ματθαίῳ, ὅστις οὐκ ἔοικε χῶρον[3]) διδόναι τῷ βουλομένῳ μετανοοῦσιν ἀφιέναι τοῖς ὀφείλουσι μόνον,[4]) λέγων ὑπὸ τοῦ σωτῆρος νενομοθετῆσθαι τὸ[5]) ἡμᾶς δεῖν ἐν τῇ εὐχῇ προστιθέναι· „καὶ[6]) γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν.“ Πάντες μέντοι γε ἐξουσίαν[7]) ἔχομεν ἀφιέναι τὰ εἰς ἡμᾶς ἡμαρ-

---

[1]) Luc. XI, 4.

[2]) Anglus: „Forsan: ἡμῖν. Respicit enim ad Luc. XI, 4. verba: καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν.“ — Ad quae tamen Angli verba Ruaeus haec, et recte quidem, respondet: „Retinendum: ἡμῶν. Quippe agitur de nobis debitoribus, et debita non reddentibus.“

[3]) Edd. Oxon. et Ruaei: „χῶρον.“ — Cfr. pag. huj. not. 4.

[4]) Anglus, qui legit: „μόνον λέγων,“ in notis: „Nullus hic inest sensus satis sanus. Matthaeus enim non hoc *solum dicit*, nec dicere potuit, Christum debitoribus statuisse: μὴ δεῖν κτλ. Fortasse sit: τοῖς ὀφείλουσι μόνον, καὶ μὴ ἀποδιδοῦσι, λέγων κτλ., sicut supra. Sed melioris Cod. subsidio hic indigemus.“ — Ad quae quidem Ruaeus haec respondet: „Sanus erit locus, modo interpungas quemadmodum in nostro textu; ubi tamen per typographi incuriam male χῶρον legitur pro: χώραν.“

[5]) Edd. Oxon. et R. in textu: „τὸ, μὴ δεῖν,“ ed. vero R. in notis: „Lego cum Bentlejo: τὸ ἡμᾶς δεῖν.“

[6]) Cfr. Luc. XI, 4. coll. Matth. VI, 12.

[7]) Ed. Ruaei, in cujus textu desideratur: „ἔχομεν,“ in notis: „Post: ἐξουσίαν, adde cum ed. Oxoniensi: ἔχομεν, quod desideratur in Cod. Mscr.“ — Item fere Anglus: „Post: ἐξουσίαν, addendum: ἔχομεν. Hoc omisit librarius, quod nos, postulante sententia, adjecimus, sicut et addiderat ed. Oxoniensis. Sic autem paulo post: τῷ μόνῳ ἐξουσίαν ἔχοντι ἀφιέναι θεῷ.“

τημένα· ὅπερ δῆλόν ἐστιν ἔκ τε τοῦ· „ὡς[1]) καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·“ καὶ ἐκ τοῦ· „καὶ[2]) γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν.“ Ὁ δὲ ἐμπνευσθεὶς ὑπὸ τοῦ Ἰησοῦ, ὡς[3]) οἱ ἀπόστολοι, καὶ ἀπὸ τῶν καρπῶν γινώσκεσθαι δυνάμενος, ὡς χωρήσας τὸ πνεῦμα τὸ ἅγιον, καὶ γενόμενος πνευματικὸς τῷ ὑπὸ τοῦ πνεύματος ἄγεσθαι τρόπον υἱοῦ θεοῦ ἐφ' ἕκαστον τῶν κατὰ λόγον πρακτέων, ἀφίησιν ἃ ἐὰν ἀφῇ ὁ θεὸς, καὶ κρατεῖ τὰ ἀνίατα τῶν ἁμαρτημάτων· ὑπηρετῶν, ὥσπερ οἱ προφῆται ἐν τῷ λέγειν οὐ τὰ ἴδια, ἀλλὰ τὰ τοῦ θείου βουλήματος τῷ θεῷ, οὕτω καὶ αὐτὸς τῷ μόνῳ ἐξουσίαν ἔχοντι ἀφιέναι θεῷ. Ἔχουσι δὲ ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ αἱ περὶ τῆς τῶν ἀποστόλων γινομένης ἀφέσεως φωναὶ οὕτως· „λάβετε[4]) πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε[5]) τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.“ Εἰ δέ τις ἀβασανίστως ἐκλαμβάνει ταῦτα, ἐγκαλέσαι τις[6]) ἂν τοῖς ἀποστόλοις μὴ πᾶσιν ἀφιεῖσιν, ἵνα πᾶσιν ἀφεθῇ, ἀλλά τινων τὰς ἁμαρτίας κρατοῦσιν, ὡς δι' αὐτοὺς καὶ παρὰ θεῷ κρατεῖσθαι αὐτάς. Χρήσιμον δὲ παράδειγμα ἀπὸ τοῦ νόμου λαβεῖν, πρὸς τὸ νοηθῆναι τὴν δι' ἀνθρώπων ἄφεσιν ὑπὸ θεοῦ γινομένην ἀνθρώποις ἁμαρτημάτων. Οἱ κατὰ νόμον ἱερεῖς κωλύονται περί τινων προσφέρειν ἁμαρτημάτων θυσίαν, ἵνα ἀφεθῇ τοῖς, περὶ ὧν αἱ

---

[1]) Cfr. Matth. VI, 12. [2]) Cfr. Luc. XI, 4.

[3]) Anglus: „Idem fere dixit supra num. 14. εἴ τις εὑρεθείη Παῦλος, ἢ Πέτρος κτλ. Confer. Comm. in Matth. Tom. XII. num. 10—14.

[4]) Ev. Joann. XX, 22. 23.

[5]) Edd. Oxon. et Ruaei in textu, illa: „ἀφῆτε,“ haec: „ἀφίετε,“ ed. vero R. in notis: „Cod. Mscr. ἀφίετε, ed. Oxoniensis: ἀφιῆτε. Lege: ἀφῆτε.“ — Item fere Anglus: „Lege: ἀφῆτε, sicut mox: κρατῆτε. Atque ita habent edd. Joann. XX, 23.“

[6]) Anglus: „Hoc τις a librario per incuriam repetitum videtur.“

θυσίαι, τὰ πλημμελήματα. Καὶ [1]) οὐδέ που τὴν περί τινων ἐξουσίαν [2]) ὁ ἱερεὺς ἀκουσίων [3]) ἢ πλημμελημάτων ἀναφορὰν ἔχων, ἤδη [4]) καὶ περὶ μοιχείας, ἢ ἑκουσίου φόνου, ἤ τινος ἄλλου χαλεπωτέρου πταίσματος προσφέρει [5]) ὁλοκαύτωμα, ἢ περὶ [6]) ἁμαρτίας. Οὕτω τοιγαροῦν καὶ οἱ ἀπόστολοι, καὶ οἱ τοῖς ἀποστόλοις ὡμοιωμένοι ἱερεῖς ὄντες κατὰ τὸν μέγαν ἀρχιερέα, ἐπιστήμην λαβόντες τῆς τοῦ θεοῦ θεραπείας, ἴσασιν, ὑπὸ τοῦ πνεύματος διδασκόμενοι, περὶ ὧν χρὴ ἀναφέρειν θυσίας ἁμαρτημάτων, καὶ πότε, καὶ τίνα τρόπον, καὶ γινώσκουσι, περὶ ὧν οὐ χρὴ τοῦτο ποιεῖν. Ὁ γοῦν ἱερεὺς Ἠλεὶ [7]) ἁμαρτάνοντας ἐπιστάμενος τοὺς υἱοὺς Ὀφνεὶ καὶ Φινεὲς, ὡς μηδὲν δυνάμενος εἰς ἄφεσιν ἁμαρτημάτων αὐτοῖς συνεργῆσαι, καὶ [8]) τὸ ἀπογινώ-

---

[1]) Editor Londiniensis: „οὐ δήπου."

[2]) Editores Oxon. et Londinensis hoc modo perperam interpunxerunt, ille: „ἐξουσίαν ὁ ἱερεὺς ἀκουσίων ἢ πλημμελημάτων ἀναφορὰν ἔχων ἤδη· καὶ περὶ μοιχείας" κτλ., hic vero: „ἐξουσίαν ὁ ἱερεὺς ἀκουσίων, ἢ πλημμελημάτων ἀναφορὰν, ἔχων ἤδη· καὶ περὶ μοιχείας" κτλ.

[3]) Anglus in notis vers. latinae subjectis: „Crediderim ἑκουσίων reponi debere; sed a Cod. non temere recedendum judico, praesertim cum praesens lectio sustineri possit." — Cfr. pag. huj. not. 2.

[4]) Anglus: „Lege: ᾔδει. Sic. num. 29. ᾔδει συμπεπληρωκώς." — Cui tamen Ruaeus haec recte respondet: „Omnino retinendum: ἤδη, uti liquet e textus nostri interpunctione.

[5]) Anglus: „Lege: οὐ προσφέρει, nam deest plane negandi particula." — Cui tamen Ruaeus haec recte respondet: „Perperam legeretur: οὐ προσφέρει, cum jam negandi particula praecesserit."

[6]) Anglus: „Subaudi: θυσίαν. Ita LXX. interpretum versiones Psalm. XL, 6. (XXXIX.) ὁλοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας."

[7]) Cod. Mscr. „Ἠλεί." Ed. Oxoniensis: „Ἠλί." R.

[8]) Dominus Fleury legebat: „καὶ τὸ ἀπογινώσκειν."

σκουσι τοῦτ' ἔσεσθαι, ὁμολογεῖ δὲ ὧν φησιν· „ἐὰν[1]) ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται περὶ αὐτοῦ· ἐὰν δὲ εἰς κύριον ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ;" Οὐκ[2]) οἶδ' ὅπως[3]) ἑαυτοῖς τινες ἐπιτρέ-

---

Bentlejus: „καὶ τοῖς ἀπογινώσκουσι." R. — Anglus: „Lege: καίτοι ἀπογινώσκουσι, vel: καὶ τοῖς ἀπογινώσκουσιν." — Equidem cum Bentlejo et Anglo legerim: „καὶ τοῖς ἀπογινώσκειν."

[1]) Cfr. I Sam. II, 25. (I Regg.) coll. pag. 232. not. 6.

[2]) Anglus absque causa: „Deesse videtur: νῦν, aut: ἀλλά, ut sic legatur: *Νῦν δ' οὐκ οἶδ' ὅπως*, vel: *'Αλλ' οὐκ οἶδ' ὅπως*."

[3]) Ruaeus in notis: „Sunt, qui invicem collatis praecedentibus et consequentibus putant Origenem adversus idololatriam, adulteria, et fornicationes eandem praescribere severitatem, qua adversus moechiam aliquot Africanos episcopos usos esse testatur sanctus Cyprianus epist. 52. his verbis: *Apud antecessores nostros quidam de episcopis istic in provincia nostra dandam pacem moechis non putaverunt, et in totum poenitentiae locum contra adulteria clauserunt; non tamen a coepiscoporum suorum collegio recesserunt, aut catholicae ecclesiae unitatem vel duritiae, vel censurae suae obstinatione ruperunt, ut, quia apud alios adulteris pax dabatur, qui non dabat de ecclesia separaretur. Manente concordiae vinculo, et perseverante catholicae ecclesiae individuo sacramento, actum suum disponit et dirigit unusquisque episcopus, rationem propositi sui Domino redditurus.* His consonare videntur Eliberitani Concilii decreta. Nam in primo canone ita patres constituunt: *Placuit, ut quicunque post fidem baptismi salutaris adulta aetate ad templum idoli idololatraturus accesserit, et fecerit quod est crimen capitale, nec in fine eum communionem recipere.* Rursus canone secundo: *Flamines, qui post fidem lavacri et regenerationis sacrificaverint, eo quod geminaverint scelera accedente homicidio, vel triplicaverint facinus cohaerente moechia, placuit eos nec in fine accipere communionem.* Ceteri canones consulendi sunt, quorum plerique ad eandem severitatem implicati sunt. Denique ex Tertulliani libro de Pudicitia quidam eruere sibi posse videntur idololatriae, homicidio, et adulterio pacem nullam ab ecclesia fuisse primis saeculis concessam. Sic ergo, inquiunt,

ψαντες τὰ ὑπὲρ τὴν ἱερατικὴν ἀξίαν, τάχα μηδὲ ἀκριβοῦντες τὴν ἱερατικὴν ἐπιστήμην, αὐχοῦσιν ὡς δυνάμενοι καὶ εἰδωλολατρείας συγχωρεῖν, μοιχείας τε καὶ πορνείας ἀφιέναι, ὡς διὰ τῆς εὐχῆς αὐτῶν περὶ τῶν ταῦτα τετολμηκότων λυομένης καὶ τῆς πρὸς θάνατον ἁμαρτίας. [1]) Οὐ γὰρ ἀναγινώσκουσι τό·

---

triplex hoc peccatorum genus insanabile putabat Origenes, et proinde a sacerdotibus retinendum. Ego vero persuasum habeo, id solum prohibere Origenem, ne sacerdotes temere sibi arrogent potestatem omnia indiscriminatim quandocunque et prout libuerit et sine ullo delectu peccata remittendi: cum nonnulla atrociora, verbi gratia, idololatria, adulterium et fornicatio, sint retinenda, donec illorum rei, diuturnae ac laboriosae poenitentiae fructus dignos fecerint, ac veniae pacique obtinendae idonei reddantur. Certe praesens Adamantii nostri locus explicandus est altero, qui exstat lib. III. contra Celsum num. 50, ubi aperte docet eos, qui post professam christianam religionem libidine, aut quovis alio graviori crimine dejecti fuerint, ceu perditos et Deo mortuos lugeri; eosdem vero quasi e mortuis excitatos duci, si eam morum mutationem fecerint, cujus ratio haberi debeat; tardius tamen admitti quam qui primo recipiuntur; et quia post professam religionem lapsi sunt, ab omni posthac dignitate et praefectura in ecclesia Dei arceri."

[1]) Anglus: „Ita appellare videtur illa *χαλεπώτερα πταίσματα* ante dicta, idololatriam, adulterium, et cetera, quae per legem Mosaicam erant *θανατηφόρα*, et nullo sacrificio expianda. Sic enim ipse Origen. Comm. in Matth. Tom. 13. num. 30. hujusmodi *μεγάλα ἁμαρτήματα* recensens appellat *τὰ πρὸς θάνατον, ἤ, ὡς ὠνόμασεν ἐν Ἀριθμοῖς ὁ νόμος, τὰ θανατηφόρα.* Horum vero peccatorum reis Origenis aetate raro admodum indulta est venia, sicut ipse dicit Homil. XV. in Leviticum: *In gravioribus criminibus semel tantum poenitentiae conceditur locus.* Illos igitur sacerdotes hic reprehendit, qui plus aequo sibi arrogantes, aut disciplinae regulam non satis callentes, in gravioribus hisce peccatis remittendis nimis erant faciles, *φαντασίᾳ τῆς τοῦ λόγου χρηστότητος, καὶ πρὸς τοὺς τὰ μέγιστα ἡμαρτηκότας τὸ συγγνωμικὸν διδόντες*, uti dicit in loco supra citato, in Matth. Tom. 13. num. 30. Haec autem disciplinae rela-

„ἔστιν [1]) ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω ἵνα τις ἐρωτήσῃ.“ Οὐκ ἀποσιωπητέον καὶ τὸν ἀνδρειότατον Ἰὼβ περὶ τῶν υἱῶν ἀναφέροντα θυσίαν, λέγοντα· „μήποτε [2]) οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς θεόν·“ περὶ γὰρ δισταζομένων εἰ ἡμάρτηται καὶ ταῦτα, οὐδὲ μέχρι τῶν χειλέων ἐφθακότων, ἀναφέρει τὴν θυσίαν.

29. „Καὶ [3]) μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.“ Τὸ δέ· „ἀλλὰ [4]) ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ·“ παρὰ τῷ Λουκᾷ σεσιώπηται. Εἰ μὴ ἀδύνατα προστάττει ὁ σωτὴρ ἡμᾶς εὔχεσθαι, ζητήσεώς μοι ἄξιον φαίνεται, πῶς κελευόμεθα, παντὸς τοῦ ἐπὶ γῆς ἀνθρώπων βίου πειρατηρίου ὄντος, προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν. Ἧι γάρ ἐσμεν ἐπὶ γῆς περικείμενοι τὴν στρατευομένην [5]) σάρκα κατὰ τοῦ πνεύματος, ἧς [6]) „τὸ φρόνημα ἔχθρα ἐστὶν εἰς θεὸν, μηδαμῶς δυναμένης ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ,“ ἐν πειρασμῷ ἐσμεν. Ὅτι δὲ πειρατήριον πᾶς ὁ ἐπὶ γῆς ἀνθρώπινος βίος, ἀπὸ τοῦ Ἰὼβ μεμαθήκαμεν διὰ τούτων· „πότερον [7]) οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος τῶν ἀνθρώπων ἐπὶ γῆς;“ Καὶ ἀπὸ τοῦ ἑπτακαιδεκάτου ψαλμοῦ τὸ αὐτὸ δηλοῦται ἐν τῷ· „ἐν [8])

---

xatio, quae Origeni displicuit, Tertulliano, severioris disciplinae vindici, Montani in castra transfugiendi occasionem dedit; uti apparet e libro ejus de Pudicitia, ubi eadem fere, quae hic Origenes, sacerdotibus exprobrat: *Audio*, inquit, *edictum esse propositum*, *et quidem peremtorium; pontifex scil. maximus — edicit: ego et moechiae et fornicationis delicta poenitentia functis dimitto*,“ et cetera.

[1]) Cfr. I Joann. V, 16. [2]) Job. I, 5.

[3]) Matth. VI, 13. coll. Luc. XI, 4.

[4]) Matth. VI, 13. coll. Luc. XI, 4.

[5]) Cfr. Gal. V, 17. [6]) Cfr. Rom. VIII, 7.

[7]) Cfr. Job. VII, 1.

[8]) Psalm. XVIII, 29. (XVII.)

σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου.“ Ἀλλὰ καὶ ὁ Παῦλος Κορινθίοις γράφων, οὐχὶ τὸ μὴ πειράζεσθαι, ἀλλὰ τὸ μὴ παρὰ δύναμιν πειράζεσθαί φησι χαρίζεσθαι τὸν θεὸν, λέγων· „πειρασμὸς[1]) ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς[2]) δὲ ὁ θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι[3]) ὑπενεγκεῖν.“ Εἴτε γὰρ ἡ πάλη[4]) ἐστὶ πρὸς τὴν ἐπιθυμοῦσαν ἢ[5]) στρατευομένην κατὰ τοῦ πνεύματος σάρκα, ἢ πρὸς τὴν ψυχὴν[6]) πάσης σαρκὸς, ἥτις ἐστὶν ὁμωνύμως ᾧ ἐγκατοικεῖ σώματι, τὸ ἡγεμονικὸν,[7]) ὃ καλεῖται καρδία· —

---

[1]) Cfr. I Cor. X, 13.

[2]) Edd. Oxon. et R. in textu: „πιστὸς δὲ ὁ θεὸς οὐκ ἐάσει“ κτλ., ed. vero R. in notis: „Bentlejus legit: πιστὸς δὲ ὁ θεὸς, ὃς οὐκ ἐάσει“ κτλ. — Item Anglus: „Lege: θεὸς, ὃς οὐκ ἐάσει“ κτλ., sicut exstat in edd. I Cor. X, 13. Articulus vero ὅς ab eadem, ut assolet, praeeunte syllaba absorptus est.“

[3]) Anglus: „In editis legitur: δύνασθαι ὑμᾶς. At Cod. Alex. aliique, sicut hic Origenes, omittunt ὑμᾶς. Vide Millium.“

[4]) Anglus non male: „Deesse videtur: ἡμῖν. Sic edd. Ephes. VI, 12. ἡμῖν ἡ πάλη. Atque ita Origenes paulo post: ἡμῖν τὰ ἀγωνίσματα.“

[5]) Anglus: „Lege: καί.“ — Cfr. Gal. V, 17.

[6]) Anglus: „Id est: αἷμα. Nam ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι, uti legitur Levit. XVII, 11. Est ergo hic μετάληψις animae pro sanguine, in quo sedem habet, et cordis pro anima, quod sanguinis simul et animae fons est. Vult igitur Origenes luctam nobis esse cum anima, quae corporis animati est τὸ ἡγεμονικόν, et cor dicitur, unde pravi affectus, quos πειρασμοὺς ἀνθρωπίνους appellat, oriuntur, quibuscum colluctatur τὸ πνεῦμα.“

[7]) Anglus: „Ita Comm. in Joann. Tom. 2. num. 29. ἐν τῇ καρδίᾳ τὸ ἡγεμονικόν. Hoc autem a Stoicis mutuatus est Origenes. Illi enim, ut in Zenone ait Laert. Lib. VII. Segm. 159. ἡγεμονικὸν εἶναί φασι τὸ κυριώτατον τῆς ψυχῆς, — ὅπερ εἶναι ἐν καρδίᾳ.“

ὁποία ἐστὶν ἡ πάλη τοῖς τοὺς ἀνθρωπίνους πειραζομένοις πειρασμούς· εἴτε ὡς διαβεβηκόσι καὶ τελειοτέροις ἀθληταῖς, οὐκέτι πρὸς αἷμα καὶ σάρκα παλαίουσιν, οὐδὲ ἐν τοῖς ἀνθρωπίνοις πειρασμοῖς ἐξεταζομένοις, οὓς καταπεπατήκασιν,[1] *ἤδη „πρὸς*[2] *τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους*[3] *τούτου, καὶ τὰ πνευματικὰ τῆς πονηρίας" ἐστὶν ἡμῖν τὰ ἀγωνίσματα, τοῦ πειράζεσθαι οὐκ ἀπηλλάγμεθα. Πῶς οὖν κελεύει ἡμᾶς ὁ σωτὴρ εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, πειράζοντός πως πάντας τοῦ θεοῦ; „μνήσθητε*[4] *γὰρ," — φησὶν ἡ Ἰουδὶθ,*[5] *οὐ πρὸς τοὺς τότε πρεσβυτέρους μόνον, ἀλλὰ καὶ πρὸς πάντας τοὺς ἐντυγχάνοντας αὐτῆς τῇ γραφῇ, — „ὅσα ἐποίησε μετὰ Ἀβραὰμ, καὶ ὅσα ἐπείρασε τὸν Ἰσαὰκ, καὶ ὅσα ἐγένετο τῷ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας ποιμαίνοντι Λάβαν τὰ πρόβατα τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ· οὐ γὰρ καθὼς ἐκείνους ἐπύρωσεν εἰς ἐτασμὸν καρδίας*

---

[1]) Anglus: „Cod. Mscr. male: *καταπεπατηκόσιν*, uti habet ed. Oxoniensis."

[2]) Cfr. Ephes. VI, 12.

[3]) Anglus: „Ita quoque haec Apostoli verba legit Origenes in Matth. Tom. XII. num. 13. et Tom. XVII. num. 2. et contra Celsum Lib. VIII. num. 34., omissis scil. verbis: *τοῦ αἰῶνος*, quae in edd. Ephes. VI, 12. exstant. Millium vero fugerunt quatuor haec Origenis loca, quorum testimonio certe ei opus erat, antequam illa: *τοῦ αἰῶνος*, tanquam *ex interpretamento nata*, tam fidenter rejecerit in Prolegom. Sect. 478." — Cui tamen Ruaeus haecce respondet: „Lib. VIII. num. 34. contra Celsum legitur in nostra editione: *τοῦ σκότους τοῦ αἰῶνος τούτου*, ut ferunt Mss. Codices."

[4]) Cfr. Judith. VIII, 26. 27.

[5]) Ed. R. in textu: „*Ἰουδαΐθ*," in notis: „Cod. Mscr. *Ἰουδαΐθ*. Ed. Oxoniensis: *Ἰουδίθ*." — Anglus: „In Codice mira est hic stribligo: *Ἰουδαία, εἰ οὐ κτλ.*, manifeste pro: *Ἰουδὶθ, οὐ κτλ.* Atque ita nos corrigere non dubitavimus, sicut et, non admonito lectore, exhibuit ed. Oxoniensis."

αὐτῶν, καὶ[1]) ἡμᾶς ἐκδικεῖ ὁ εἰς νουθέτησιν μαστιγῶν κύριος τοὺς ἐγγίζοντας αὐτῷ." Καὶ ὡς καθολικὸν δὲ ἀποφαίνεται περὶ πάντων δικαίων ὁ μὲν Δαυὶδ λέγων· „πολλαὶ[2]) αἱ θλίψεις τῶν δικαίων·" ὁ δὲ ἀπόστολος ἐν ταῖς Πράξεσιν· „ὅτι[3]) διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ." Καὶ ἐὰν μὴ συνῶμεν τὸ τοὺς πολλοὺς λανθάνον περὶ τοῦ μὴ εἰσελθεῖν εἰς πειρασμὸν προσεύχεσθαι, ὥρα λέγειν, ὅτι οἱ ἀπόστολοι εὐχόμενοι οὐκ ἐπηκούοντο, μυρία ὅσα ἐν παντὶ τῷ χρόνῳ ἑαυτῶν πεπονθότες· „ἐν[4]) κόποις περισσοτέρως, ἐν πληγαῖς περισσοτέρως,[5]) ἐν φυλακαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις·" ὁ δὲ Παῦλος

---

[1]) Sic habet Cod. Mscr. Editio autem Oxoniensis: „καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν, ἀλλὰ εἰς νουθεσίαν μαστιγοῖ," ut in vulgato textu graeco. R. — Anglus: „In edd. LXX. viror. vers. legitur: καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν, ἀλλ' εἰς νουθέτησιν μαστιγοῖ κτλ. Vides autem, Origenem negandi particulam: οὐκ, hic omittere, quam in priore potius sententiae parte Badvellus Grotiusque omittendam censent, refragantibus tamen, ut fatetur Badvell., *omnibus graecis exemplaribus*. Atque mihi quidem satis commoda videtur haec Origenis lectio: οὐ γὰρ καθὼς ἐκείνους ἐπύρωσε, καὶ ἡμᾶς ἐκδικεῖ κτλ., hoc est: nequaquam asperius nobiscum nunc agit Deus, quam cum patribus nostris olim egit, eos solum explorans, nos vero exitio destinans, sed omnes pariter filios, nos aeque ac illos, commonitionis tantum emendationisque causa castigat. Editor vero Oxon. rejectis more suo Codicis verbis, illa LXX. viror. vers. verba supra citata hic inseruit."

[2]) Psalm. XXXIV, 19. (XXXIII.)

[3]) Cfr. Act. XIV, 22. [4]) Cfr. II Cor. XI, 23.

[5]) Anglus: „Haec verba per scribae incuriam inversa videntur, atque eo sunt ordine legenda, quo in edd. II Cor. XI, 23. aptius collocata exstant: ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως. Atque ita quidem recitat ipse Origenes Homil. XIV. in Jeremiam. At in Comm. in ep. ad Romanos sic scriptum legitur: — ἐν φυλακαῖς περισσευόντως, ἐν πληγαῖς ὑπερβαλλόντως, quod et librarii incuriae tribuendum esse arbitramur."

ἰδίᾳ ὑπὸ[1]) Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν εἴληφε· τρὶς ἐῤῥαβδίσθη,[2]) ἅπαξ ἐλιθάσθη, τρὶς ἐναυάγησε, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκεν, ἄνθρωπος ἐν[3]) παντὶ θλιβόμενος, καὶ ἀπορούμενος, καὶ διωκόμενος, καὶ καταβαλλόμενος, ὁμολογῶν τε τό· „ἄχρι[4]) τῆς ἄρτι ὥρας πεινῶμεν καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν.“ Τῶν δὲ ἀποστόλων ἐν τῷ εὔχεσθαι μὴ ἐπιτετευχότων, τίς ἐλπὶς τῶν ὑποδεεστέρων τινὶ παρ' ἐκείνους εὐχομένῳ ἐπηκόου θεοῦ τυχεῖν; Τὸ δὲ ἐν τῷ εἰκοστῷ πέμπτῳ ψαλμῷ· „δοκίμασόν[5]) με, κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου, καὶ τὴν καρδίαν μου·“ εὐλόγως τις ὑπολήψεται τῶν μὴ ἀκριβούντων τί τὸ βούλημα τῆς προστάξεως τοῦ σωτῆρος, ἐναντίως γεγονέναι οἷς ὁ κύριος ἡμῶν περὶ εὐχῆς ἐδίδαξε. Πότε δέ τις νενόμικεν εἶναι ἔξω πειρασμῶν ἀνθρώπους, ὧν ᾔδει τὸν λόγον συμπεπληρωκώς; Καὶ ποῖος καιρός ἐστιν, ἐν ᾧ ὡς μὴ ἀγωνιζόμενος περὶ τοῦ μὴ ἁμαρτήσεσθαι καταπεφρόνηκε; Πένεταί[6]) τις; Εὐλαβείσθω, μήποτε κλέψας[7]) ὀμόσῃ τὸ ὄνομα τοῦ θεοῦ. Ἀλλὰ πλουτεῖ; Μὴ καταφρονείτω· δύναται γὰρ πλησθεὶς[8]) ψευδὴς γενέσθαι, καὶ ἐπαρθεὶς εἰπεῖν· „τίς[9]) με ὁρᾷ;“ οὐδὲ Παῦλος γοῦν πλουτῶν „ἐν[10]) παντὶ λόγῳ καὶ πάσῃ γνώσει“ κινδύνου ἀπήλλακται τοῦ, ὡς ἐπὶ τούτοις, ἐν τῷ ὑπερ-

---

1) Cfr. II Cor. XI, 24. 25.
2) Edd. Oxon. et Ruaei: „ἐραβδίσθη.“
3) Cfr. II Cor. IV, 8. 9.
4) Cfr. I Cor. IV, 11—13.
5) Psalm. XXVI, 2. (XXV.)
6) Cfr. Prov. XXX, 9. 7) Cfr. Prov. XXX, 9.
8) Cfr. Prov. XXX, 9. 9) Prov. XXX, 9.
10) Cfr. I Cor. I, 5.

αἱρεσθαι ἁμαρτάνειν, ἀλλὰ δεῖται σκόλοπος[1]) τοῦ σατανᾶ κολαφίζοντος αὐτὸν, ἵνα μὴ ὑπεραίρηται. Κᾂν συνειδῇ τις ἑαυτῷ τὰ κρείττονα, καὶ ἀναπτερωθῇ ὑπὸ τῶν κακῶν,[2]) ἀναγινωσκέτω τὸ εἰρημένον ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων περὶ Ἐζεκίου, ὅστις[3]) πεπτωκέναι λέγεται[4]) ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ. Εἰ δὲ, ἐπεὶ μὴ πλείονα περὶ τοῦ πένητος εἰρήκαμεν, καταφρονεῖ τις, ὡς μὴ πειρασμοῦ τοῦ περὶ τῆς πενίας, ἴστω, ὅτι ὁ ἐπιβουλεύων ἐπιβουλεύει ὑπὲρ „τοῦ[5]) καταβαλεῖν πτωχὸν καὶ πένητα," καὶ μάλιστα ἐπεὶ κατὰ τὸν Σολομῶντα „ὁ[6]) πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν." Τί δὲ δεῖ λέγειν, ὅσοι διὰ τὸν σωματικὸν πλοῦτον, μὴ καλῶς αὐτὸν οἰκονομήσαντες, τὴν μετὰ τοῦ ἐν τῷ εὐαγγελίῳ πλουσίου χώραν ἐν τῇ κολάσει εἰλήφασι; καὶ ὅσοι ἀγεννῶς τὴν πενίαν φέροντες, δουλοπρεπέστερον καὶ ταπεινότερον ἢ κατὰ[7]) τὰ ἐν τοῖς ἁγίοις πρέποντα ἀναστρεφόμενοι, τῆς ἐπουρανίου ἐλπίδος ἀποπεπτώκασιν; Οὐδὲ οἱ μεταξὺ δὲ τούτων καθ' ἑκάτερον, πλοῦτον καὶ πενίαν, τοῦ κατὰ τὴν σύμμετρον κτῆσιν ἁμαρτάνειν πάντως εἰσὶν ἀπηλλαγμένοι. Ἀλλὰ ὑγιαίνων τῷ σώματι καὶ εὐεκτῶν, ἔξω παντὸς πειρασμοῦ κατ' αὐτὸ τὸ ὑγιαίνειν καὶ εὐεκτεῖν ὑπολαμβάνει τυγχάνειν; Καὶ τίνων ἄλλων, ἢ τῶν εὐεκτούντων καὶ ὑγιαινόντων ἐστὶν

---

1) Cfr. II Cor. XII, 7. — Anglus: „Legendum opinor: σκόλοπος ἀγγέλου τοῦ σατανᾶ. Sic etiam edd. II Cor. XII, 7., atque ipse Origenes Homil. XII. in Jeremiam."

2) Anglus absque causa: „Legendum plane est e contrario: καλῶν, sicut liquet ex praecedente: κρείττονα."

3) Cfr. II Chron. XXXII, 25. 26.

4) Anglus: „Cod. Mscr. λέγηται."

5) Cfr. Psalm. XXXVII, 14. (XXXVI.)

6) Cfr. Prov. XIII, 8.

7) Anglus: „Rectius opinor: κατὰ τὰ τοῖς ἁγίοις πρέποντα. Respicit enim ad Apostoli verba, Ephes. V, 3. καθὼς πρέπει ἁγίοις."

ἁμάρτημα, τὸ[1]) φθείρειν τὸν ναὸν τοῦ θεοῦ; Οὐ τολμήσει τις, διὰ τὸ ἐκκεῖσθαι πᾶσι, σαφῶς τὰ κατὰ τὸν τόπον εἰπεῖν. Νοσῶν δὲ τίς τοὺς εἰς τὸ φθείρειν[2]) τὸν ναὸν τοῦ θεοῦ ἐρεθισμοὺς ἐκπέφευγε, σχολάζων κατ' ἐκεῖνο καιροῦ, καὶ πάνυ τι δεχόμενος τοὺς περὶ τῶν ἀκαθάρτων πραγμάτων λογισμούς; Ἀλλ' ὅσα παρὰ τούτους ταράττει αὐτὸν, ἐὰν μὴ πάσῃ[3]) φυλακῇ τηρῇ τὴν καρδίαν, τί δεῖ καὶ λέγειν; Πολλοὶ γὰρ ὑπὸ τῶν πόνων νικώμενοι, καὶ ἀνδρείως νόσους φέρειν οὐκ ἐπιστάμενοι, μᾶλλον τὴν ψυχὴν ἠλέγχθησαν τότε νενοσηκότες, ἢ τὰ σώματα· πολλοὶ δὲ καὶ διὰ τὸ φεύγειν τὴν ἀδοξίαν, ἐπαισχυνόμενοι[4]) τὸ Χριστοῦ εὐγενῶς ὄνομα φέρειν, εἰς αἰσχύνην αἰώνιον καταπεπτώκασιν. Ἀλλ' οἴεταί τις ἀναπαύεσθαι ὡς μὴ πειραζόμενος, ὅτε δεδόξασται παρὰ τοῖς ἀνθρώποις· καὶ πῶς οὐ χαλεπὸν τό· „ἀπέχουσι[5]) τὸν μισθὸν ἀπὸ τῶν ἀνθρώπων·“ ἀπαγγελλόμενον τοῖς ἐπαιρομένοις, ὡς ἐπ' ἀγαθῷ, τῇ παρὰ τοῖς πολλοῖς δόξῃ; Πῶς δ' οὐκ ἐπιπληκτικὸν τό· „πῶς[6]) δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε;“ Καὶ τί με δεῖ καταλέγειν τὰ τῶν νομιζομένων εὐγενῶν ἐν ὑπερηφανίᾳ πταίσματα, καὶ τῶν λεγομένων δυσγενῶν, διὰ τὸ ἀνεπιστῆμον, τὴν πρὸς τοὺς ὑπερέχειν νομιζομένους ὑπόπτωσιν θωπευτικὴν ἀφιστᾶσαν θεοῦ, τοὺς γνησίαν μὲν φιλίαν οὐκ ἔχοντας,[7]) τὸ δὲ κάλλιστον τῶν ἐν ἀνθρώποις, τὴν ἀγάπην ὑποκρινομέ-

---

[1]) Cfr. I Cor. III, 17. [2]) Cfr. I Cor. III, 17.

[3]) Cfr. Prov. IV, 23.

[4]) Cod. Mscr. „ἐπαισχυνόμενοι.“ Ed. Oxoniensis: „ἀπαισχυνόμενοι.“

[5]) Cfr. Matth. VI, 2.

[6]) Ev. Joann. V, 44.

[7]) Cod. Mscr. „ἔχοντας.“ Ed. Oxoniensis: „ἔχοντες.“ R.

νους; [1]) *Πᾶς τοίνυν ὁ βίος,* [2]) *καθὼς προείρηται, τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἐστι πειρατήριον· διόπερ εὐχώμεθα ῥυσθῆναι πειρατηρίου, οὐκ ἐν τῷ μὴ πειράζεσθαι· — τοῦτο γὰρ ἀμήχανον, μάλιστα τοῖς ἐπὶ γῆς· — ἀλλὰ ἐν τῷ μὴ ἡττᾶσθαι πειραζομένους. Τὸν δὲ ἡττώμενον ἐν τῷ πειράζεσθαι εἰσέρχεσθαι εἰς τὸν πειρασμὸν, ἐνεχόμενον τοῖς δικτύοις αὐτοῦ, ὑπολαμβάνω· εἰς ἅπερ δίκτυα διὰ τοὺς προκατειλημμένους ἐν αὐτοῖς εἰσελθὼν ὁ σωτὴρ, ἐκκύπτων* [3]) *„διὰ τῶν δικτύων,“ κατὰ τὸ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων εἰρημένον, ἀποκρίνεται τοῖς προκατειλημμένοις ὑπ' αὐτῶν, καὶ εἰσελθοῦσιν εἰς τὸν πειρασμὸν, καὶ λέγει οὖσι νύμφῃ αὐτοῦ· „ἀνάστα,* [4]) *ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιστερά μου.“ Προσθήσω δὲ, εἰς τὸ πειρασθῆναι πάντα καιρὸν πειρασμοῦ εἶναι τοῖς ἀνθρώποις, καὶ ταῦτα· οὐδὲ ὁ τὸν νόμον τοῦ θεοῦ μελετῶν ἡμέρας καὶ νυκτὸς, καὶ ἀσκῶν κατορθῶσαι τὸ εἰρημένον· „στόμα* [5]) *δικαίου μελετήσει σοφίαν·“ τοῦ πειράζεσθαι ἀπήλλακται. Ὅσοι γοῦν παρεκδεξάμενοι, ἐν τῷ ἀνατεθεικέναι αὐτοὺς τῇ ἐξετάσει τῶν θείων γραφῶν, τὰ ἐν νόμῳ καὶ προφήταις ἀπηγγελμένα, ἀθέοις καὶ ἀσεβέσι δόγμασιν ἑαυτοὺς ἀνατεθείκασιν,* [6]) *ἢ ἠλιθίοις καὶ γελοίοις, τί δεῖ*

---

[1]) Cod. Mscr. „*ὑποκρινομένους.*“ Ed. Oxoniensis: „*ὑποκρινόμενοι.*“ R. — Anglus: „Habet hic quidem Cod. Mscr. *ὑποκρινόμενοι.* Nos vero in re manifesta syntaxi potius, quam dormitanti scribae, obsequendum judicavimus.“ — Ad quae tamen Angli verba Ruaeus haec iterum respondet: „Cod. Mscr. teste Walkero habet: *ὑποκρινομένους.*“

[2]) Cfr. Job. VII, 1. [3]) Cantic. Canticor. II, 9.

[4]) Cantic. Canticor. II, 10. [5]) Cfr. Prov. X, 31.

[6]) Edd. Oxon. et Ruaei in textu: „*ἀνατεθείκασιν, ἠλιθίοις*“ *κτλ.*, ed. vero R. in notis: „Lege cum Bentlejo: *ἀνατεθείκασιν, ἢ ἠλιθίοις*“ *κτλ.* — Item Anglus: „Lege: *ἀνατεθείκασιν, ἢ ἠλιθίοις.* Duo enim hic notat dogmatum genera, unum impium, alterum stultum et ri-

καὶ λέγειν· τῶν δοκούντων τῷ τῆς ἀμελείας τῶν ἀναγνωσμάτων ἐγκλήματι μὴ εἶναι ἐνόχων, μυρίων ὅσων τὰ τοιαῦτα πταιόντων; Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν ἀναγνωσμάτων πολλοὶ πεπόνθασι, διὰ τὰς ἰδίας ἀνοίας, ἀναπλάττοντες[1]) ἕτερον παρὰ τὸν θεολογούμενον καὶ κατὰ τὴν ἀλήθειαν νενοημένον τοῖς ἁγίοις υἱὸν ἢ[2]) πατέρα. Ὁ γὰρ μὴ τὰ ἀληθῆ φρονῶν περὶ θεοῦ ἢ[3]) Χριστοῦ αὐτοῦ, τοῦ μὲν ἀληθινοῦ ἀποπέπτωκε θεοῦ, καὶ τοῦ μονογενοῦς αὐτοῦ· ὃν[4]) δὲ ἀνέπλασεν ἡ ἄνοια αὐτοῦ νομίζουσα εἶναι πατέρα καὶ υἱὸν, οὐκ ὄντως προσκυνεῖ· τοῦτο παθὼν διὰ τὸ τὸν ἐν τῷ ἀναγινώσκειν τὰ ἅγια πειρασμὸν μὴ νενοηκέναι, μηδὲ ὡς πρὸς ἀγῶνα καὶ τότε αὐτῷ ἐνεστηκότα ὁπλισάμενος καὶ στάς. Χρὴ τοίνυν εὔχεσθαι, οὐχ ἵνα μὴ πειρασθῶμεν, — τοῦτο γὰρ ἀδύνατον, — ἀλλ' ἵνα μὴ ὑπὸ τοῦ πειρασμοῦ περιβληθῶμεν· ὅπερ πάσχουσιν οἱ ἐνεχόμενοι αὐτῷ καὶ νενικημένοι. Ἐπεὶ

---

diculum; quorum alterutro implicari solent istiusmodi Scripturarum lectores. Particula vero ἢ ab eadem insequenti vocali absorpta est."

[1]) Anglus: „Marcionitas vult, quos eodem fere modo in lib. VIII. contra Celsum num. 16. his verbis depingit: *Εἴσονται δὲ οἱ ἄλλην ὁδὸν καὶ ἄλλα κέλευθα βαδίζοντες, καὶ τοῦτον μὲν* (scil. *δημιουργὸν*) *ἀρνούμενοι, καινοειδεῖ δὲ ἀναπλάσματι καὶ ὀνόματι μόνον θεοῦ ἑαυτοὺς, ὡς μείζονι τοῦ δημιουργοῦ, ἐπιδεδωκότες, καὶ εἴ τις ἄρ' ἐστὶ, λέγων ἰσχυρότερον εἶναι τὸν υἱὸν καὶ κύριον τοῦ κρατοῦντος θεοῦ.* Confer vero Just. Mart. Apol. I. Sect. 35. 75. Irenaeum 1, 29. Epiphan. Haeres 42. Theod. Haer. Fab. 1. 24. et Tertull. advers. Marcion."

[2]) Anglus: „Lege: *καὶ πατέρα.*"

[3]) Anglus: „Lege: *καὶ Χριστοῦ αὐτοῦ.*"

[4]) Anglus: „Lege: *οὓς δέ*, scil. *πατέρα καὶ υἱόν.*"

οὖν ἔξω μὲν τῆς εὐχῆς γέγραπται· [1]) *„προσεύχεσθε* [2]) *μὴ εἰσελθεῖν εἰς πειρασμόν·“ ὅπερ ἐκ τῶν εἰρημένων δύναταί πως εἶναι σαφές· ἐν δὲ τῇ εὐχῇ λέγειν ἡμᾶς δεῖ· „μὴ* [3]) *εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν·“ τῷ πατρὶ θεῷ· ἄξιον ἰδεῖν, πῶς χρὴ νοεῖν τὸν θεὸν εἰσάγειν τὸν μὴ εὐξάμενον, ἢ τὸν μὴ ἐπακουόμενον, εἰς τὸν πειρασμόν. Ἀπεμφαίνει γὰρ, τοῦ νικωμένου εἰσερχομένου εἰς τὸν πειρασμὸν, τὸν θεὸν νομίζειν εἰσάγειν τινὰ εἰς πειρασμὸν, οἱονεὶ τῷ νικᾶσθαι αὐτὸν παραδόντα. Ἡ δ' αὐτὴ ἀπέμφασις περιμένει καὶ τὸν ὅπως ποτὲ ἐξηγούμενον τό· „εὔχεσθε* [4]) *μὴ εἰσελθεῖν εἰς πειρασμόν.“ Εἰ γὰρ κακὸν τὸ ἐμπεσεῖν εἰς πειρασμὸν, ὅπερ ἵνα μὴ πάθωμεν εὐχόμεθα, πῶς οὐκ ἄτοπον νοεῖν τὸν ἀγαθὸν θεὸν, μὴ δυνάμενον καρποὺς φέρειν πονηροὺς, περιβάλλειν τινὰ τοῖς κακοῖς; Χρήσιμον οὖν εἰς ταῦτα παραθέσθαι τὰ ἐν τῇ πρὸς Ῥωμαίους ὑπὸ τοῦ Παύλου εἰρημένα τοῦτον τὸν τρόπον· „φάσκοντες* [5]) *εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. Διὸ παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς.“ Καὶ μετ' ὀλίγα· „διὰ* [6]) *τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν*

---

[1]) Edd. Oxon. et Ruaei: „*γέγραπται μὴ εἰσελθεῖν*“ *κτλ.* — Anglus: „Manca est plane sententia; lege igitur: *γέγραπται· εὔχεσθε μὴ εἰσελθεῖν κτλ.* Nam ipsa vult Christi verba Luc. XXII, 40., atque ita paulo post, cfr. pag. huj. not. 4., recitat.“

[2]) Cfr. Luc. XXII, 40. coll. Matth. XXVI, 41.

[3]) Cfr. Matth. VI, 13. coll. Luc. XI, 4.

[4]) Cfr. Luc. XXII, 40. coll. Matth. XXVI, 41.

[5]) Cfr. Rom. I, 22—24.

[6]) Cfr. Rom. I, 26. 27.

τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν· ὁμοίως καὶ οἱ ἄρσενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν," καὶ τὰ ἑξῆς. Καὶ πάλιν μετ' ὀλίγα· „καὶ[1]) καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα." Πλὴν ταῦτα[2]) πάντα προσεκτέον τοῖς[3]) διακόπτουσι τὴν θεότητα, καὶ λεκτέον πρὸς αὐτοὺς ἕτερον νομίζοντας εἶναι τὸν ἀγαθὸν πατέρα

---

[1]) Rom. I, 28.

[2]) Anglus absque causa: „Ed. Oxoniensis: *haec omnia observare oportet.* Atqui *προσεκτέον* hoc in sensu dativum rei postulat, scil. *τούτοις πᾶσι προσεκτέον κτλ.* Neque ita quidem sumta vox illa loco huic convenit. Mihi igitur pro: *προσεκτέον*, legendum videtur: *προσακτέον*, id est: *objicienda sunt:* ita enim hoc verbo saepe utitur Origenes. Sic supra num. 16. *ἐὰν δέ τις προσάγῃ ἡμῖν τό· προσκυνησάτωσαν κτλ.* Et Comm. in Genesin: *ἐὰν προσάγωμεν αὐτοῖς —, ὅτι κόσμος κτλ.* Et contra Celsum lib. IV. num. 4. *ὅπερ ἡμῖν καὶ Ἰουδαίοις προσάγει ὁ Κέλσος.* Et in Joann. Tom. 2. num. 6. *προσακτέον αὐτὸν* (lege: *αὐτῷ*) — *καὶ ἀγγέλων ἐλάττονα — γεγονέναι τὸν Ἰησοῦν*, atque Philocal. (ex ed. Spenceri) cap. II. pag. 24. *λυέτωσαν τὰς προσαγομένας ὑφ' ἡμῶν αὐτοῖς ἀπορίας.* Sic etiam Clem. Alex. Strom. VII. p. 886. *αὐτὸ τοῦτο προσάγουσιν ἡμῖν.* Ita et Euseb. Eccl. Theol. p. 193. *τὰ προκείμενα αὐτοῖς προσακτέον.*"

[3]) Anglus: „Scil. Marcionitis, qui duos sibi fingebant deos, alterum Legis *justum*, alterum Evangelii *bonum* Deum. Hoc autem illis iisdem paene verbis passim exprobrat Origenes. e. c. Hom. IX. in Jeremiam: *ἔσονται οἱ διακόπτοντες τὴν θεότητα τὴν πρεσβυτέραν τῆς ἐπιδημίας τοῦ σωτῆρος — ἀπὸ τῆς θεότητος τῆς ἐπαγγελλομένης ὑπὸ Ἰησοῦ Χριστοῦ.* Et in Titum ap. Pamph. Apol. *Quantum in se est, naturam Deitatis secant et scindunt, dicentes unum Legis, et alterum Evan-*

τοῦ κυρίου ἡμῶν παρὰ τὸν τοῦ νόμου θεόν· εἰ ὁ ἀγαθὸς θεὸς τὸν μὴ τυγχάνοντα τῆς εὐχῆς εἰσάγει εἰς πειρασμόν· καὶ εἰ ὁ πατὴρ τοῦ κυρίου παραδίδωσιν ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν τοὺς προημαρτηκότας[1]) τι εἰς ἀκαθαρσίαν,[2]) τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν αὐτοῖς· καὶ εἰ, ὥς αὐτοί φασι, τοῦ κρίνειν καὶ κολάζειν ἀπηλλαγμένος παραδίδωσιν εἰς πάθη[3]) ἀτιμίας, καὶ εἰς ἀδόκιμον[4]) νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα· οὐκ ἂν ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν ἑαυτῶν γεγενημένων τῶν μὴ παραδοθέντων αὐταῖς ὑπὸ τοῦ θεοῦ· οὐδ' ἂν πάθεσιν ἀτιμίας ὑποπεπτωκότων τῶν μὴ ὑπὸ τοῦ θεοῦ παραδοθέντων αὐτοῖς· οὐδ' ἂν εἰς ἀδόκιμον νοῦν καταπιπτόντων χωρὶς τοῦ παραδίδοσθαι αὐτῷ ὑπὸ θεοῦ τοὺς οὕτω καταδικασθέντας. Ἐκείνους μὲν οὖν εὖ οἶδα ὅτι σφόδρα ταράξει[5]) ταῦτα·[6]) διὰ τοῦτο ἄλλον ἀναπλάσαντας[7]) παρὰ τὸν ποιητὴν οὐρα-

---

geliorum Deum. Et Comm. in Joann. Tom. I. num. 14. δυσὶ θεοῖς προσάπτουσιν ἀμφοτέρας τὰς διαθήκας οἱ ἑτερόδοξοι. Confer. lib. II. cap. 4. et 5. περὶ ἀρχῶν, et Philocal. (ex ed. Spenceri) paginas 6. 7. 21. 60. 68. 101. 102. Eodem vero modo Irenaeus 3. 42. Marcion, inquit, dividens Deum in duo, alterum quidem bonum, et alterum judicialem dicens, ex utrisque interimit Deum."

[1]) Ed. Oxon. perperam: „προημαρτηκότας· τί εἰς — αὐτῶν ἐν αὐτοῖς; καὶ εἰ, ὥς αὐτοί" κτλ.

[2]) Cfr. Rom. I, 24. [3]) Cfr. Rom. I, 26.

[4]) Cfr. Rom. I, 28.

[5]) Anglus satis accurate: „Scilicet, cum ab Apostolo scriptum legerint, *bonum* illum, quem sibi finxerunt novi Testamenti Deum, homines in reprobum sensum ad nefanda illa perpetranda pariter tradere, atque alterum illum veteris Testamenti Deum, quem ea de causa improbandum censuerunt."

[6]) Ed. Ruaei: „ταῦτα. Διὰ τοῦτο ἄλλον." — Cfr. pag. huj. not. 7.

[7]) Edd. Oxon. et Ruaei in textu: „ἀναπλάσαντες." — Anglus: „Lege: ἀναπλάσαντας, nam refertur plane ad ἐκείνους." — Quibus quidem Angli verbis Ruaeus

νοῦ καὶ γῆς θεὸν, ἐπεὶ πολλὰ τοιαῦτα εὑρίσκοντες ἐν τῷ νόμῳ καὶ τοῖς προφήταις, προσέκοψαν ὡς[1]) οὐκ ἀγαθῷ τῷ τοιαύτας προφερομένῳ φωνάς. Ἡμῖν δὲ ἤδη διὰ τὰ ἐπαπορηθέντα περὶ τοῦ· „μὴ[2]) εἰσενέγκῃς εἰς πειρασμὸν ἡμᾶς·" δι' ἅπερ καὶ τὰς ἀποστολικὰς λέξεις παρεθέμεθα, θεωρητέον, εἰ καὶ ἡμεῖς εὑρίσκομεν[3]) ἀξιολόγους τῶν ἀπεμφάσεων λύσεις. Ἡγοῦμαι[4]) δὴ[5]) τὸν θεὸν ἑκάστην λογικὴν οἰκονομεῖν ψυχὴν, ἀφορῶντα εἰς τὴν ἀΐδιον αὐτῆς ζωὴν, ἀεὶ ἔχουσαν τὸ αὐτεξούσιον, καὶ παρὰ τὴν ἰδίαν αἰτίαν ἤτοι ἐν τοῖς κρείτ-

---

cfr. pag. 255. not. 6., haec addit: „Pone igitur post: ταῦτα, quod praecessit, minorem distinctionis notam loco majoris."

[1]) Anglus: „Ita fere Origenes Homil. I. in Jeremiam: οἱ ἀπὸ τῶν αἱρέσεων — προέφερον ἡμῖν λέγοντες· ὁρᾷς θεὸν τὸν τοῦ νόμου, πῶς ἐστιν ἄγριος καὶ ἀπάνθρωπος, κτλ. Et Homil. XII. τοῖς αὐτοῖς τοιούτοις ῥητοῖς ἐπιβαίνουσιν οἱ ἀπὸ τῶν αἱρέσεων λέγοντες· ὁρᾷς τὸν δημιουργὸν, οἷός ἐστι, καὶ τὸν τῶν προφητῶν θεὸν, ὅς φησιν· οὐ φείσομαι, —· πῶς δύναται οὗτος εἶναι ἀγαθός; κτλ. Confer. Philocal. (ex ed. Spenceri) pag. 6. et 7. et Comm. in Matth. Tom. XV. num. 11."

[2]) Cfr. Matth. VI, 13. coll. Luc. XI, 4.

[3]) Anglus: „Lege: εὑρίσκοιμεν."

[4]) Sic habet Cod. Mscr. Editio autem Oxoniensis: „Ἡγοῦμαι δέ." Aperte autem hic somnia sua occinit Origenes, animas nempe quemlibet statum adeptas arbitrii sui libertate ad bene vel male agendum frui, ac perpetuos esse proinde a supernis ad inferiora lapsus et reditus; poenas item omnes esse purgatorias, imo ipsamet peccata purgatorias poenas esse. De his somniis fuse disseritur Origenianorum lib. II. quaest. 7. num. 2. et quaest. 11. num. 1. et 17. R. — Anglus: „Lege: ἡγοῦμαι δέ."

[5]) Ed. Ruaei ad marginem: Cave, et confer quae habentur lib. III. de Principiis cap. 1. num. 3.

τοσι[1]) κατ' ἐπανάβασιν ἕως τῆς ἀκρότητος τῶν ἀγαθῶν γινομένην,[2]) ἢ καταβαίνουσαν διαφόρως ἐξ ἀπροσεξίας ἐπὶ τὴν τοσήνδε ἢ τοσήνδε τῆς κακίας χύσιν. Ἐπεὶ οὖν ἡ ταχεῖα[3]) θεραπεία καὶ συντομωτέρα καταφρόνησίν τισιν ἐμποιεῖ τῶν, εἰς ἃ ἐμπεπιώκασι, νοσημάτων, ὡς εὐθεραπεύτων, ὥστε καὶ δεύτερον ἂν μετὰ τὸ ὑγιᾶσθαι τοῖς αὐτοῖς περιπεσεῖν· εὐλόγως ἐπὶ τῶν τοιούτων περιόψεται τὴν ἐπί τι κακίαν αὔξουσαν, καὶ ἐπὶ πλεῖστον χεομένην ἐν αὐτοῖς ἀνίατον ὑπερορῶν, ἵνα τῷ προσδιατρίψαι τῷ κακῷ, καὶ ἐμφορηθῆναι ἧς ἐπιθυμοῦσιν ἁμαρτίας, κορεσθέντες αἰσθηθῶσι τῆς βλάβης, καὶ μισήσαντες ὅπερ πρότερον ἀπεδέξαντο, δυνηθῶσι θεραπευθέντες βεβαιότερον ὄνασθαι τῆς ἐν τῷ θεραπευθῆναι ὑπαρχούσης ὑγείας τῶν ψυχῶν αὐτοῖς· οἷον „ὁ[4])

---

[1]) Cod. Mscr. „κρείττοσι κατ' ἐπανάβασιν.“ Ed. Oxoniensis: „κρείττοσι κατεπανάβασιν.“ R.

[2]) Edd. Oxon. et R. in textu: „γινομένην, καταβαίνουσαν,“ ed. vero R. in notis: „Bentlejus legit: γινομένην, ἢ καταβαίνουσαν.“ — Anglus: „Deest plane: ἤ, quod respondeat praecedenti ἤτοι. Lege igitur: ἢ καταβαίνουσαν. His vero consona habet Origen. Hom. I. in Ezechielem: *Per arbitrii libertatem, alii ad bonorum conscendunt summitatem, alii corruunt in malitiae profundum.* Sic etiam Philocal. (ex ed. Spenceri) cap. XXI. pag. 66. ὥστε κατὰ τοῦτο, διὰ τὰς προαιρέσεις, τινὰς μὲν ἐκ χειρόνων εἰς κρείττονα προκόπτειν, ἑτέρους δὲ ἀπὸ κρειττόνων εἰς χείρονα καταπίπτειν· καὶ ἄλλους ἐν τοῖς καλοῖς τηρεῖσθαι, ἢ ἀπὸ καλῶν εἰς κρείττονα ἐπαναβαίνειν· ἄλλους δὲ (ed. Spenc. τε) αὐτοῖς κακοῖς παραμένειν, ἢ ἀπὸ κακῶν χεομένης τῆς κακίας χείρονας γίνεσθαι.“

[3]) Anglus: „Confer Philocal. (ex ed. Spenceri) pag. 57. 60. 61. 103. 104., et contra Celsum lib. V. num. 31., ubi de eadem re disputans Origenes iisdem ferme verbis utitur.“ [4]) Cfr. Num. XI, 4—6.

ἐπίμικτός ποτε ἐν[1]) τοῖς υἱοῖς Ἰσραὴλ ἐπεθύμησαν[2]) ἐπιθυμίαν, καὶ καθίσαντες ἔκλαιον, καὶ οἱ υἱοὶ Ἰσραὴλ, καὶ εἶπαν· τίς ἡμᾶς ψωμιεῖ κρέα; Ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν δωρεὰν ἐν Αἰγύπτῳ, καὶ τοὺς σικυοὺς, καὶ τοὺς πέπονας, καὶ τὰ πράσα, καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα· νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος. Οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν.“ Εἶτα μετ' ὀλίγα λέγεται· „καὶ[3]) ἤκουσε Μωϋσῆς κλαιόντων αὐτῶν κατὰ δήμους αὐτῶν· ἕκαστος ἐπὶ τῆς θύρας αὐτοῦ.“ Καὶ πάλιν μετ' ὀλίγα κύριός φησι τῷ Μωϋσεῖ· „καὶ[4]) τῷ λαῷ ἐρεῖς· ἁγνίσασθε αὔριον, καὶ φάγεσθε κρέα· ὅτι ἐκλαύσατε ἐναντίον κυρίου, λέγοντες· τίς ἡμᾶς ψωμιεῖ κρέα; ὅτι καλὸν ἡμῖν ἐστιν ἐν Αἰγύπτῳ. Καὶ δώσει ὑμῖν κρέα φαγεῖν, καὶ φάγεσθε κρέα. Οὐχ ἡμέραν μίαν φάγεσθε, οὐδὲ δύο, οὐδὲ πέντε ἡμέρας,[5]) οὐδὲ δέκα ἡμέρας, οὐδὲ εἴκοσιν ἡμέρας. Ἕως μηνὸς ἡμερῶν φάγεσθε, ἕως ἂν ἐξέλθῃ ἐκ τῶν μυκτήρων ὑμῶν· καὶ ἔσται ὑμῖν εἰς χολέραν, ὅτι ἠπειθήσατε κυρίῳ, ὅς ἐστιν ἐν ὑμῖν, καὶ ἐκλαύσατε ἐναντίον αὐτοῦ, λέγοντες· ἵνα τί ἡμῖν ἐξελθεῖν ἐξ Αἰγύπτου;“ Ἴδωμεν οὖν τὴν ἱστορίαν, εἰ χρησίμως ὑμῖν παρεβάλομεν αὐτὴν πρὸς λύσιν τοῦ ἀπεμφαίνοντος ἐν τῷ· „μὴ[6]) εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν·“ καὶ ἐν

---

[1]) Lego: „ὁ ἐν τοῖς υἱοῖς.“ R.

[2]) Edd. Oxon. et Ruaei: „ἐπεθύμησαν,“ ed. LXX virorum versionis: „ἐπεθύμησεν.“ — Cfr. pag. 259. not. 1. coll. Num. XI, 4.

[3]) Cfr. Num. XI, 10.

[4]) Cfr. Num. XI, 18–20.

[5]) Edd. Oxon. et Ruaei: „ἡμέρας, οὐ δέκα.“ — Anglus in textu: „ἡμέρας, οὐδὲ δέκα,“ in notis: „Ita plane legendum; sicut habent edd. LXX. virorum versionis. In Cod. vero geminum δέ per librarii incuriam in unum coaluit, scil. in: οὐ δέκα.“

[6]) Cfr. Matth. VI, 13. coll. Luc. XI, 4.

ταῖς ἀποστολικαῖς λέξεσιν. Ἐπιθυμήσαντες[1]) ἐπιθυμίαν ὁ ἐπίμικτος ὁ ἐν υἱοῖς Ἰσραὴλ ἔκλαιον, καὶ οἱ υἱοὶ Ἰσραὴλ σὺν αὐτοῖς. Καὶ φανερὸν, ὅτι ὅσον οὐκ εἶχον τὰ ἐπιθυμούμενα, κόρον οὐκ ἠδύναντο αὐτῶν λαβεῖν, οὐδὲ παύσασθαι τοῦ πάθους· ἀλλὰ καὶ ὁ φιλάνθρωπος καὶ ἀγαθὸς θεὸς, διδοὺς[2]) αὐτοῖς τὸ ἐπιθυμούμενον, οὐχ οὕτως ἐβούλετο διδόναι, ὥστε καταλιπέσθαι ἐν αὐτοῖς ἐπιθυμίαν. Διόπερ φησὶ, μὴ μίαν[3]) ἡμέραν φάγεσθαι αὐτοὺς τὰ κρέα· ἔμενε γὰρ ἂν τὸ πάθος αὐτῶν ἐν τῇ ψυχῇ πεπυρωμένῃ καὶ φλεγομένῃ ὑπ αὐτοῦ, εἰ ἐπ' ὀλίγον τῶν κρεῶν μετειλήφεσαν.[4]) Ἀλλ' οὐδὲ ἐπὶ δύο[5]) δίδωσιν αὐτοῖς τὸ ἐπιθυμούμενον ἡμέρας· βουλόμενος δὲ αὐτὸ προσκορὲς αὐτοῖς ποιῆσαι, οἱονεὶ οὐκ ἐπαγγέλλεται, ἀλλὰ τῷ συνιέναι δυναμένῳ ἀπειλεῖ δι' ὧν χαρίζεσθαι αὐτοῖς ἐδόκει, λέγων· οὐδὲ[6]) πέντε μόνας ποιήσετε[7]) ἡμέρας ἐσθίοντες τὰ κρέα· οὐδὲ τὰς τούτων διπλασίους·[8]) οὐδὲ ἔτι τὰς ἐκείνων διπλασίους·[9]) ἀλλ' ἐπὶ τοσοῦτον[10]) φάγεσθε, ἐφ' ὅλον κρεωφαγοῦντες μῆνα,[11]) ἕως ἐξέλθῃ ἐκ τῶν μυκτήρων μετὰ χολερικοῦ πάθους τὸ νενομισμένον ὑμῖν καλὸν, καὶ ἡ περὶ αὐτὸ ψεκτὴ καὶ αἰσχρὰ ἐπιθυμία· ἵν' ὑμᾶς ἀπαλλάξω τοῦ βίου[12]) μηκέτι ἐπιθυμοῦντας, καὶ τοιοῦτοι ἐξελθόντες, συνῆθῆτε ὡς καθαροὶ ἀπὸ ἐπιθυμίας, μεμνημένοι τε

---

[1]) Cfr. pag. 258. not. 2. coll. Num. XI, 4.

[2]) Cfr. Num. XI, 18. [3]) Cfr. Num. XI, 19.

[4]) Cod. Mscr. „μετειλήφεσαν.“ Ed. Oxon. „μετειλήφασαν.“ R.

[5]) Cfr. Num. XI, 19. [6]) Cfr. Num. XI, 19.

[7]) Anglus: „Cod. Mscr. ποιήσητε.“

[8]) Cfr. Num. XI, 19. [9]) Cfr. Num. XI, 19.

[10]) Cod. Mscr. „τοσοῦτον.“ Ed. Oxon. „τοσούτων.“ R.

[11]) Cfr. Num. XI, 20.

[12]) Anglus: „Id est: βιότου, seu: τῶν πρὸς τὸ ζῆν. Hesychius.“

δι᾽ ὅσων πόνων αὐτῆς ἀπηλλάγητε, ἤτοι μηδαμῶς αὐτῇ περιπεσεῖν ἔτι· ἤ, εἰ ἄρα τοῦτό ποτε γίνεται μακραῖς χρόνων περιόδοις, ἐπιλανθανόμενοι ὧν πεπόνθατε διὰ τὴν ἐπιθυμίαν, ἐὰν μὴ ἑαυτοῖς προσέχητε, καὶ τὸν τελείως ἀπαλλάττοντα πάθους παντὸς λόγον ἀναλάβητε, τοῖς κακοῖς περιπέσητε[1]) *ὕστερόν τε τῆς*[2]) *γενέσεως*

---

[1]) Edd. Oxon. et R. in textu: „*περιπεσεῖτε*," ed. vero R. in notis: „Lego: *περιπέσητε*."

[2]) Anglus: „Male haec ed. Oxon. latine reddidit: ***natalium memores;*** quod nec verba sonant, nec loci sententia admittit. Origenes vero hic voce: *γένεσις*, utitur sensu plane philosophico, quo mundi hujus res denotat, quae perpetuae per generationem, et corruptionem, mutationi sunt obnoxiae: quippe veteres philosophi eam mundi partem, quae infra lunam est, in qua *φύσις τε καὶ γένεσις ἔχουσι τὴν δυναστείαν*, uno verbo designantes appellabant *γένεσιν*, uti nos docet Ocellus de Universo cap. 2. *γένεσις μὲν, ὅπου μεταβολὴ καὶ ἔκβασις τῶν ὑποκειμένων —· ἰσθμὸς γάρ ἐστιν ἀθανασίας καὶ γενέσεως ὁ περὶ τὴν σελήνην δρόμος.* Inde autem Suidas: *γένεσις· ὁ κόσμος*, scil. *ὁ ὑποκάτω τῆς σελήνης.* Sic etiam *περὶ κοσμοποιΐας* Philo. Ita et Celsus apud Origenem lib. VII. num. 45. *Οὐσία καὶ γένεσις νοητὸν, ὁρατόν· μετὰ οὐσίας μὲν ἀλήθεια, μετὰ δὲ γενέσεως πλάνη.* Atque ipse Origenes contra Celsum lib. VII. num. 46. dicit, *τὰ τῆς γενέσεως* esse *τὰ βλεπόμενα, καὶ διὰ τοῦτο πρόσκαιρα.* Quo in sensu contra Celsum lib. VIII. num. 60. ait, *δαίμονας περιγείους συντακῆναι τῇ γενέσει, καὶ φιλοσωματῆσαι*, et num. 62. commemorat *δαιμόνων ἔργα κατασπώντων εἰς τὰ τῆς γενέσεως πράγματα τὰς τῶν ἀνθρώπων ψυχάς.* Ceterum per *γένεσιν* hic Origenes praecipue vult terrena illa, quae ad victus delicias pertinent, quales erant carnes, quarum cupiditate flagrabat populus Israeliticus, *τοῦ βίου ἐπιθυμοῦντες*, uti ex antegressis apparet. Hoc autem in sensu Pythagorici *ἐνίων βρωμάτων ἀποχὴν* docebant, praeser-

ἐπιθυμήσαντες, πάλιν δεηθῆτε τοῦ δὶς τυχεῖν ὧν ἐπιθυμεῖτε,[1]) μισήσαντες τὸ ἐπιθυμούμενον, καὶ τότε οὕτω παλινδρομεῖν[2]) ἐπὶ τὰ καλὰ, καὶ τὴν οὐράνιον τροφὴν, ἧς καταφρονήσαντες τῶν χειρόνων ὠρεχθήσατε.[3]) Τὸ ὅμοιον οὖν τούτοις πείσονται οἱ ἀλλάξαντες[4]) „τὴν δόξαν τοῦ θεοῦ τοῦ ἀφθάρτου ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν," διὰ τοῦ ἐγκαταλείπεσθαι παραδιδόμενοι[5]) „ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα" τῶν εἰς ἄψυχον σῶμα καὶ ἀναίσθητον καταβιβασάντων τὸ ὄνομα τοῦ πᾶσι τοῖς αἰσθομένοις λογικοῖς οὐ μόνον τὸ αἰσθέσθαι, ἀλλὰ καὶ τὸ λογικῶς αἰσθέσθαι, τισὶ δὲ καὶ τελείως καὶ ἐναρέτως[6]) αἰσθέσθαι καὶ νοεῖν χαρισαμένου. Καὶ εὐλόγως οἱ τοιοῦτοι παραδίδονται ὑπὸ τοῦ καταλειφθέντος ὑπ' αὐτῶν θεοῦ, ἀντικαταλειπόμενοι ὑπ' αὐτοῦ, εἰς[7]) τὰ τῆς ἀτιμίας πάθη, τὴν ἀντιμισθίαν τῆς πλάνης, δι' ἧς ἠγάπησαν ψωρώδους ἡδονῆς, ἀπολαμβάνοντες. Μᾶλλον γὰρ ἡ ἀντιμισθία τῆς πλά-

---

tim τῶν γλυκυθυμούντων, καὶ κατατεινόντων εἰς γένεσιν τὸ θνητὸν σῶμα, symbolice indicantes, ut ait Hierocles, τὴν ὕλην (lege: ὅλης) τῆς γενέσεως ἀποχὴν δι' ἑνός τινος παραδείγματος. Comm. in Aur. Carm. p. 216. ed. Cantabrig."

[1]) Anglus non male: „Legendum mihi videtur: ἐπεθυμεῖτε, μισήσαντες δὲ τὸ ἐπιθυμούμενον."

[2]) Anglus: „Subaudi ex antecedentibus: δυνηθῆτε, quod et adjiciendum potius videtur, ut sit: παλινδρομεῖν δυνηθῆτε ἐπὶ τὰ καλά" κτλ.

[3]) Edd. Oxon. et R. in textu: „ὠρέχθησαν," ed. vero R. in notis: „Lego: ὠρεχθήσατε." — Item Anglus: „Lege: ὠρεχθήσατε, ut eaedem, quae supra, sint personae."

[4]) Cfr. Rom. I, 23. [5]) Cfr. Rom. I, 24.

[6]) Edd. Oxon. et Ruaei: „ἐναρετῶς."

[7]) Cfr. Rom. I, 26. — De seqq. cfr. Rom. I, 27.

νης αὐτοῖς ἐγγίνεται παραδιδομένοις „εἰς[1]) πάθη ἀτιμίας,“ ἤπερ τῷ[2]) φρονίμῳ πυρὶ καθαιρομένοις, καὶ ἐν τῇ φυλακῇ ἐκπρασσομένοις μέχρι τοῦ ἐσχάτου[3]) κοδράντου ἕκαστον τῶν ὀφλημάτων. Ἐν γὰρ τοῖ πάθεσιν[4]) ἀτιμίας, οὐ μόνον τοῖς κατὰ φύσιν, ἀλλὰ καὶ πολλοῖς τῶν παρὰ φύσιν παραδίδοσθαι, μολύνονται καὶ ὑπὸ τῆς σαρκὸς παχύνονται,[5]) οἱονεὶ οὐκέτι ἔχοντες τότε ψυχὴν, οὐδὲ νοῦν, ἀλλ᾽ ὅλοι γινόμενοι σάρ-

---

[1]) Rom. I, 26.

[2]) Anglus: „Id est, igne καθαρσίῳ, quo sapiens Deus utitur. Vult autem πνεῦμα κρίσεως, et πνεῦμα καύσεως, de quo in locis paulo post citatis, Jesai. IV, 4. et Malach. III, 2., mentio fit. Hunc vero ignem, πῦρ σωφρονοῦν vocat Clem. Alex. Protrept. pag. 47. (ex ed. Potteri), et πῦρ οὐ βάναυσον, ἀλλὰ τὸ φρόνιμον, τὸ διϊκνούμενον διὰ ψυχῆς τῆς διερχομένης τὸ πῦρ, Stromat. lib. VII. cap. 6. pag. 851. (ex ed. Potteri), eumque esse dicit, quo in Sodomorum incendio usus est Deus, ὀλίγον τι τοῦ φρονίμου πυρὸς ἐκείνου ἐπὶ τὴν ἀκολασίαν ἐκχέων. Cfr. Paedagog. lib. III. cap. 8. pag. 280. (ex ed. Potteri.) Qualis vero sit hic ignis, ostendit porro Clemens in Eclog. Prophetar. cap. 25. pag. 995. (ex ed. Potteri.) Ἀγαθὴ γὰρ δύναμις τὸ πῦρ νοεῖται καὶ ἰσχυρὰ, φθαρτικὴ τῶν χειρόνων, καὶ σωστικὴ τῶν ἀμεινόνων· διὸ καὶ φρόνιμον λέγεται παρὰ τοῖς προφήταις τοῦτο τὸ πῦρ. Atque ita fere ipse Origenes Hom. I. in Ezechielem: Quis est iste ignis, quem lex praedicat, et Evangelium non tacet? *Uniuscujusque opus quale sit, ignis probabit.* Quis est, Apostole, ignis iste, qui probat opera nostra? Quis est ignis iste sic sapiens, ut custodiat aurum meum, —, ut mala tantum consumat, quae feci —? Sic et Minucius Felix sapientem appellat inferni ignem: Illic sapiens ignis membra urit, et reficit; carpit, et nutrit, et cetera.“

[3]) Cfr. Matth. V, 26. coll. 25.

[4]) Cfr. Rom. I, 26. [5]) Cfr. Jesai. VI, 10.

κες· ἐν δὲ τῷ πυρὶ καὶ τῇ φυλακῇ οὐκ ἀντιμισθίαν[1]) *τῆς πλάνης, ἀλλ' εὐεργεσίαν*[2]) *ἐπὶ καθάρσει τῶν ἐν τῇ πλάνῃ κακῶν μετὰ σωτηρίων λαμβάνοντες πόνων ἑπομένων τοῖς φιληδόνοις, ἀπαλλάττονται παντὸς ῥύπου καὶ αἵματος, ἐν οἷς ἐῤῥυπωμένοι καὶ πεφυρμένοι, οὐδὲ τὸ ἐννοῆσαι περὶ τοῦ σώζεσθαι ἐδύναντο, τῇ*[3]) *σφῶν*

---

[1]) Cfr. Rom. I, 27.

[2]) Anglus: „Eodem modo ignis hujus purgatorii usum describit Origenes lib. V. contra Cels. num. 15. *τὸ πῦρ καθάρσιον ἐπάγεται τῷ κόσμῳ· εἰκὸς δ' ὅτι καὶ ἑκάστῳ τῶν δεομένων τῆς διὰ τοῦ πυρὸς δίκης ἅμα καὶ ἰατρείας· καίοντος μὲν, καὶ οὐ κατακαίοντος τοὺς μὴ ἔχοντας ὕλην δεομένην ἀναλοῦσθαι ὑπ' ἐκείνου τοῦ πυρός· καίοντος δὲ, καὶ κατακαίοντος τοὺς ἐν τῇ διὰ τῶν πράξεων, καὶ λόγων, καὶ νοημάτων τροπικῶς λεγομένῃ οἰκοδομῇ ξύλα, χόρτον, ἢ καλάμην οἰκοδομήσαντας. Φασὶ δ' οἱ θεῖοι λόγοι τὸν κύριον ὡς πῦρ* (Malach. III, 2.) *χωνευτηρίου, καὶ ὡς πόαν πλυνόντων, ἑκάστῳ τῶν δεομένων ἐπιδημήσειν, διὰ τὸ ἀναμεμίχθαι οἱονεὶ φαύλην χυτὴν ὕλην τὴν ἀπὸ τῆς κακίας, δεομένων δὲ λέγω πυρὸς, οἱονεὶ χωνεύοντος τοὺς ἀναμεμιγμένους χαλκῷ, καὶ κασσιτέρῳ, καὶ μολύβδῳ. Καὶ ταῦτα τὸν βουλόμενόν ἐστιν ἀπὸ τοῦ προφήτου Ἰεζεκιὴλ* (XXII, 18—20.) *μαθεῖν. Ὅτι δὲ οὐχ ὡς μάγειρόν φαμεν τὸ πῦρ ἐπιφέρειν τὸν θεὸν, ἀλλ' ὡς θεὸν εὐεργέτην τῶν χρῃζόντων πόνου καὶ πυρὸς, μαρτυρήσει καὶ ὁ προφήτης Ἠσαΐας* (XLVII, 14. 15), *ἐν ᾧ γέγραπται λελέχθαι πρός τι ἔθνος ἁμαρτωλόν· ὅτι ἔχεις ἄνθρακας πυρός· κάθισαι ἐπ' αὐτοῖς. Οὗτοι ἔσονταί σοι βοήθεια.* Confer lib. IV. contra Celsum num. 12. et 13., et Hom. II. XVI. in Jeremiam."

[3]) Anglus: „Lege: *ἐν τῇ σφῶν ἀπωλείᾳ.* Sic enim in loco hic citato, Esther. VIII, 6. *πῶς δυνήσομαι σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου;*" — Ad quae quidem Angli verba Ruaeus haec respondet: „Codicis lectio ferri potest; ordo verborum erit: *ἐννοῆσαι τῇ σφῶν ἀπωλείᾳ, περὶ τοῦ σώζεσθαι.*"

ἀπωλείᾳ. „Ἐκπλυνεῖ[1]) τοιγαροῦν ὁ θεὸς τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως·“ „εἰσπορεύεται[2]) γὰρ ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα[3]) πλυνόντων,“ ἀποπλύνων καὶ καθαίρων τοὺς τοιούτων φαρμάκων δεδεημένους, διὰ τὸ μὴ δεδοκιμασμένους[4]) θέλειν ἔχειν ἐν ἐπιγνώσει τὸν θεόν· οἷς παραδιδόντες[5]) ἑκόντες μισήσουσι τὸν ἀδόκιμον νοῦν. Οὐ γὰρ[6]) βούλεται[7]) ὁ θεός τινι τὸ ἀγαθὸν ὡς κατὰ ἀνάγκην γενέσθαι, ἀλλ' ἑκουσίως· τάχα τινῶν, ἐκ τοῦ ἐπιπλεῖον ὡμιληκέναι τῇ κακίᾳ, μόγις τὸ αἶσχος αὐτῆς κατανενοηκότων, καὶ ἀποστρεφομένων αὐτὴν ὡς ψευδῶς ὑποληφθεῖσαν εἶναι καλήν. Ἐπίστησον δὲ, εἰ διὰ τοῦτο καὶ σκληρύνει τὴν τοῦ Φαραὼ καρδίαν ὁ θεὸς, ἵν' ὅπερ εἶπε μὴ σκληρυνθεὶς, δυνηθῇ εἰπεῖν·

---

[1]) Cfr. Jesai. IV, 4. [2]) Cfr. Malach. III, 2.

[3]) Cod. Mscr. „πόα.“ Ed. Oxon. male: „ποιά.“ R.

[4]) Cfr. Rom. I, 28.

[5]) Anglus: „Desideratur plane: ἑαυτούς, ut sit: παραδιδόντες ἑαυτοὺς ἑκόντες“ κτλ. — Cfr. Rom. I, 28.

[6]) Deest „γάρ“ in ed. Ruaei.

[7]) Anglus: „His fere gemina habet Origen. Hom. XIX. in Jeremiam: Ὁ θεὸς οὐ τυραννεῖ, ἀλλὰ βασιλεύει, καὶ βασιλεύων οὐ βιάζεται, ἀλλὰ πείθει, καὶ βούλεται ἑκουσίως παρέχειν ἑαυτοὺς τοὺς ἐπ' (lege: ὑπ') αὐτῷ τῇ οἰκονομίᾳ αὐτοῦ, ἵνα μὴ κατ' ἀνάγκην τὸ ἀγαθόν τινος ᾖ, ἀλλὰ κατὰ ἑκούσιον αὐτοῦ, κτλ. Similiter vero Clem. Alexandr. Stromat. lib. VII. cap. VII. pag. 855. (ex ed. Potteri): Οὔτε μὴν ἄκων σωθήσεται ὁ σωζόμενος· οὐ γάρ ἐστιν ἄψυχος· ἀλλὰ παντὸς μᾶλλον ἑκουσίως καὶ προαιρετικῶς σπεύσει πρὸς σωτηρίαν. Διὸ καὶ τὰς ἐντολὰς ἔλαβεν ὁ ἄνθρωπος, ὡς ἂν ἐξ αὐτοῦ ὁρμητικὸς πρὸς ὁπότερον ἂν καὶ βούλοιτο τῶν τε αἱρετικῶν καὶ τῶν φευκτῶν. Οὐκοῦν ὁ θεὸς ἀνάγκῃ ἀγαθοποιεῖ· κατὰ προαίρεσιν δὲ εὐποιεῖ τοὺς ἐξ αὐτῶν ἐπιστρέφοντας.“

„ὁ[1]) κύριος δίκαιος, ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβεῖς.“ Ἀλλ' ἐπὶ πλεῖον δέεται τοῦ σκληρύνεσθαι, καὶ ἐπὶ πλεῖον πάσχειν[2]) τινὰ, ἵνα μὴ ἐκ τοῦ τάχιον τοῦ σκληρύνεσθαι παύεσθαι, καταφρονῶν ὡς κακοῦ τοῦ σκληρύνεσθαι, ἐπὶ[3]) πλεονάκις ἄξιος τοῦ σκληρύνεσθαι γίνηται. Εἰ τοίνυν „οὐκ[4]) ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς,“ κατὰ τὰ ἐν ταῖς Παροιμίαις εἰρημένα, ἀλλὰ εὐλόγως εἰσάγει ὁ θεὸς εἰς τὴν παγίδα, κατὰ τὸν εἰπόντα· „εἰσήγαγες[5]) ἡμᾶς εἰς τὴν παγίδα·“ καὶ ἄνευ τῆς βουλῆς[6]) τοῦ πατρὸς οὐδὲ τὸ[7]) εὐτελέστερον τῶν ἐπτερωμένων στρουθίον ἐμπίπτει[8]) εἰς τὴν παγίδα· τοῦ ἐμπίπτοντος εἰς τὴν παγίδα, διὰ τοῦτο ἐμπίπτοντος, ἐπεὶ μὴ καλῶς τῇ τῶν πτερῶν ἐχρήσατο δεδομένων ἐπὶ τὸ ὑψοῦσθαι ἐξουσίᾳ· εὐχώμεθα μηδὲν ἄξιον

---

[1]) Cfr. Exod. IX, 27. — Edd. Oxon. et Ruaei: „ἀσεβής.“ Anglus vero: „Lege: ἀσεβεῖς. Vide num. 8.“

[2]) Cod. Mscr. „πάσχειν.“ Ed. Oxon. „πάσχει.“ Paulo post Cod. Mscr. „καταφρονῶν ὡς κακοῦ.“ Ed. Oxon. „καταφρονεῖν ὡς κακοῦ.“ R.

[3]) Anglus: „Minus recte hoc dici videtur. Lege igitur: ἔτι πλεονάκις.“

[4]) Cfr. Prov. I, 17.

[5]) Psalm. LXVI, 11. (LXV.) — Anglus ad verbum: „εἰσήγαγες,“ in notis: „Ita LXX. virorum vers. edd., at in Cod. Holm. male scriptum legitur: εἰσήγαγεν, uti habet ed. Oxoniensis.“

[6]) Cfr. Matth. X, 29. coll. Luc. XII, 6.

[7]) Edd. Oxon. et Ruaei: „τὸ εὐτελέστερον τῶν ἐπτερωμένων στρουθίων.“ — Anglus: „Ed. Oxon. in versione: *vilissimus pennatorum passerum*: quod neutiquam est ferendum. Nam quisnam, quaeso, est iste *passerum vilissimus?* et quare *pennatorum?* quasi ullus esset passer non pennatus. Pro: στρουθίων, igitur lege: στρουθίον, et sanam reddes sententiam.“

[8]) Anglus: „Ita etiam habet Origen. contra Celsum lib. VIII. num. 70. εἰς παγίδα οὐ πίπτει, sicut et legit Chrysostomus. At in edd. Matth. X, 29. legitur: οὐ πεσεῖται ἐπὶ τὴν γῆν.“

ποιῆσαι τοῦ ὑπὸ τῆς δικαίας κρίσεως τοῦ θεοῦ εἰσενεχθῆναι εἰς τὸν πειρασμόν· εἰσφερομένου παντός τε τοῦ παραδιδομένου [1]) ὑπὸ τοῦ θεοῦ ἐν ταῖς ἐπιθυμίαις τῆς [2]) καρδίας ἑαυτοῦ εἰς ἀκαθαρσίαν· καὶ παντὸς τοῦ παραδιδομένου [3]) εἰς πάθη ἀτιμίας, καὶ παντὸς τοῦ, καθὼς [4]) οὐκ ἐδοκίμασε τὸν θεὸν ἔχειν ἐν ἑαυτῷ, [5]) παραδιδομένου εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα. Ἡ δὲ χρεία τοῦ πειράζεσθαι τοιαύτη τίς ἐστιν. Ἅπερ ἐδέξατο ἡμῶν ἡ ψυχὴ λανθάνοντα πάντας [6]) πλὴν τοῦ θεοῦ, ἀλλὰ καὶ ἡμᾶς αὐτοὺς, φανερὰ διὰ τῶν πειρασμῶν γίνεται· ἵνα μηκέτι λανθάνωμεν ὁποῖοί ποτέ ἐσμεν, ἀλλὰ καὶ αὐτοὺς ἐπιγινώσκοντες, συναισθώμεθα, ἐὰν βουλώμεθα, τῶν ἰδίων κακῶν, καὶ εὐχαριστῶμεν ἐπὶ τοῖς φανερουμένοις ἡμῖν διὰ τῶν πειρασμῶν ἀγαθοῖς. Ὅτι δὲ οἱ γενόμενοι πειρασμοὶ ὑπὲρ τοῦ ἀναφανῆναι ἡμᾶς, οἵτινές ποτέ ἐσμεν, ἢ [7]) διαγνωσθῆναι τὰ ἐγκεκρυμμένα τῇ καρδίᾳ ἡμῶν, γίνονται, παρίστησι τὸ ὑπὸ τοῦ κυρίου ἐν τῷ Ἰὼβ λεγόμενον, καὶ τὸ ἐν τῷ Δευτερονομίῳ γεγραμμένον, οὕτως ἔχοντα· „οἴει [8]) δέ με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος;“ Καὶ ἐν τῷ Δευτερονομίῳ οὕτως· „ἐκάκωσέ [9]) σε, καὶ ἐλιμαγχόνησέ σε, καὶ ἐψώμισέ σε τὸ μάννα·“

---

[1]) Cfr. Rom. I, 24.

[2]) Ed. R. in textu: „τῶν καρδιῶν,“ in notis: „Cod. Mscr. τῶν καρδιῶν. Ed. Oxoniensis: τῆς καρδίας.“ — Anglus: „Perperam scripsit librarius: τῶν καρδιῶν. Lege: τῆς καρδίας.“

[3]) Cfr. Rom. I, 26. [4]) Cfr. Rom. I, 28.

[5]) Anglus: „Lege: ἐπιγνώσει. Ita enim Apostolus loco citato, Rom. I, 28., idque hic sententia postulat.“

[6]) Sic recte habet Cod. Mscr. Editio autem Oxoniensis: „πάντα πλὴν τοῦ θεοῦ, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς.“ R.

[7]) Anglus: „Lege: καὶ διαγνωσθῆναι τὰ κεκρυμμένα ἐν τῇ καρδίᾳ ἡμῶν.“

[8]) Job. XL, 8. [9]) Cfr. Deut. VIII, 3.

„καὶ[1]) διήγαγέ σε ἐν τῇ ἐρήμῳ, οὗ ὄφις δάκνων, καὶ σκορπίος, καὶ δίψα·“ „ὅπως[2]) διαγνωσθῇ τὰ ἐν τῇ καρδίᾳ σου.“ „Εἰ δὲ καὶ ἀπὸ τῆς ἱστορίας ἀναμνησθῆναι βουλόμεθα, ἰστέον, ὅτι[3]) τὸ Εὔας εὐεξαπάτητον, καὶ τὸ σαθρὸν τοῦ λογισμοῦ αὐτῆς,[4]) οὐχ ὅτε παρακούσασα τοῦ θεοῦ τοῦ ὄφεως ἤκουσεν, ὑπέστη· ἀλλὰ καὶ πρότερον ὃν ἐλέγχθη, τοῦ ὄφεως διὰ τοῦτο αὐτῇ προσεληλυθότος, ἐπεὶ[5]) τῇ ἰδίᾳ φρονιμότητι ἀντελάβετο τῆς ἀσθενείας αὐτῆς. Ἀλλ᾽ οὐδὲ ἐν τῷ Κάϊν πονηρία ἤρξατο γίνεσθαι, ὅτε ἀπέκτεινε τὸν ἀδελφὸν αὐτοῦ· καὶ πρότερον γὰρ ἐπὶ[6]) τῷ Κάϊν καὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν ὁ καρδιογνώστης θεός· εἰς φανερὸν δὲ ἦλθεν ἡ κακία αὐτοῦ, ὅτε[7]) ἀνεῖλε τὸν Ἄβελ. Ἀλλὰ καὶ εἰ μὴ πιὼν[8]) οὗ γεώργησεν οἴνου, ἐμεθύσθη ὁ Νῶε καὶ ἐγεγύμνωτο,[9]) οὐκ ἂν ἀνεφάνη οὔτε ἡ τοῦ Χὰμ[10]) προπετεία, καὶ εἰς τὸν πατέρα ἀσέ-

---

[1]) Cfr. Deut. VIII, 15. coll. 2.

[2]) Cfr. Deut. VIII, 2.

[3]) Edd. Oxon. et Ruaei in textu, illa: „ὅτι (Εὐὰ) τὸ εὐεξαπάτητον,“ haec: „ὅτι τὸ εὐεξαπάτητον.“ — Anglus: „Lege: ὅτι τὸ Εὔας εὐεξαπάτητον. Nam de Eva plane loquitur: intercidit vero: Εὔας, propter similes syllabas sequentes in voce: εὐεξαπάτητον“ — Cfr. pag. huj. not. 4.

[4]) Pro: „αὐτῆς,“ Bentlejus legit: „τῆς Εὐά.“ Forte autem legendum: „ἰστέον ἐν τῇ Εὐᾷ ὅτι τὸ εὐεξαπάτητον, καὶ τὸ σαθρὸν τοῦ λογισμοῦ αὐτῆς.“ R. — Cfr. pag. huj. not. 3.

[5]) Edd. Oxon. et Ruaei in textu: „ἐπί,“ ed. vero R. in notis: „Lege cum Bentlejo: ἐπεί.“ — Item Anglus: „Lege: ἐπεὶ τῇ ἰδίᾳ κτλ., quod sensus plane flagitat.“

[6]) Cfr. Genes. IV, 5.

[7]) Cod. Mscr. „ὅτε.“ Ed. Oxoniensis: „ὅτι.“ R.

[8]) Cfr. Genes. IX, 21.

[9]) Anglus: „Scripsit hic librarius: ἐγυμνωτο.“

[10]) Cfr. Genes. IX, 22.

βεια, οὔτε ἡ τῶν ἀδελφῶν αὐτοῦ σεμνότης, καὶ αἰδὼς πρὸς τὸν γεγεννηκότα. Καὶ ἡ κατὰ τοῦ Ἰακὼβ[1]) *τοῦ Ἠσαῦ ἐπιβουλὴ, πρόφασιν ἔδοξεν ἐσχηκέναι τὴν τῆς εὐλογίας ἀφαίρεσιν· πρότερον δὲ τούτου, ῥίζας*[2]) *τοῦ πόρνος καὶ βέβηλος εἶναι εἶχεν αὐτοῦ ἡ ψυχή. Τήν τε λαμπρότητα τῆς τοῦ Ἰωσὴφ*[3]) *σωφροσύνης, παρεσκευασμένου πρὸς τὸ μὴ ἁλῶναι ὑπό τινος ἐπιθυμίας, οὐκ ἂν ἐγνώκειμεν, μὴ ἐρασθείσης αὐτοῦ τῆς δεσποίνης.*[4]) *Διὰ τοῦτο ἐν τοῖς μεταξὺ καιροῖς τῆς τῶν πειρασμῶν διαδοχῆς ἱστάμενοι,*[5]) *πρὸς τὰ ἐνεστηκότα παρασκευαζώμεθα, πρὸς τὰ δυνατὰ πάντα συμβῆναι, ἵν᾽ ὅ, τί ποτ᾽ ἂν γένηται,*[6]) *μὴ ἐλεγχθῶμεν ὡς ἀνέτοιμοι, ἀλλὰ φανερωθῶμεν ὡς ἐπιμελέστατα ἑαυτοὺς συγκροτήσαντες· τὸ γὰρ ἔλλειπον διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, ἐπὰν πάντα τὰ καθ᾽ ἑαυτοὺς ἐπιτελέσωμεν, πληρώσει ὁ θεὸς, ὁ*[7])

---

[1]) Cfr. Gen. XXVII, 41.

[2]) Cfr. Hebr. XII, 15. 16.

[3]) Cfr. Gen. XXXIX, 7. seqq.

[4]) Cod. Mscr. „*δεσποίνης.*" Ed. Oxon. „*δεσποίνας.*" R.

[5]) Edd. Oxon. et Ruaei: „*ἱστάμενοι πρὸς τὰ ἐνεστηκότα, παρασκευαζώμεθα*" *κτλ.*

[6]) Cod. Mscr. „*γένηται.*" Ed. Oxon. „*γίνηται.*" R.

[7]) Anglus: „Eodem modo Origenes hunc locum, Rom. VIII, 28., citat in Comment. in Psalmos: — *πάντα συνεργεῖ εἰς ἀγαθὸν ὁ θεός*, mentem scil. Apostoli, non ipsa ejus verba, exhibens; si quidem ipse Origenes Comm. in Joann. Tom. XX. num. 20., et in Comm. in ep. ad Romanos, (cfr. ed. nostrae Tom. V. pag. 247. seqq. coll. Tom. VII. pag. 119. not. 4. et 12., pag. 133. not. 2., et pag. 139. not. 13.), cum editis legit: — *πάντα συνεργεῖ εἰς ἀγαθόν*, missis illis: *ὁ θεός*, atque ita se habere Apostoli verba declarat in Comm. in ep. ad Romanos, (cfr. ed. Ruaei Tom. IV. pag. 462. et 463. coll. ed. nostrae Tom. V. pag. 247. seqq.): *Οὕτω δὲ ἔχει τὰ ῥητά· οἴδαμεν, ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν.* Unde mihi constare videtur, illa: *ὁ θεός*, non ab Origene, aliisve patribus, in aliquibus Sacrae Scri-

τοῖς [1]) ἀγαπῶσιν αὐτὸν πάντα συνεργῶν εἰς ἀγαθὸν, τοῖς κατὰ τὴν ἀψευδῆ πρόγνωσιν αὐτοῦ, ὅ, τί ποτε ἔσονται παρ᾽ [2]) αὐτοὺς, προεωραμένοις.

30. Δοκεῖ δέ μοι ὁ Λουκᾶς διὰ τοῦ· „μὴ [3]) εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν·“ δυνάμει δεδιδαχέναι καὶ τό· „ῥῦσαι [4]) ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.“ Καὶ εἰκός [5]) γε

---

pturae exemplaribus inventa fuisse, sed ex ipsorum potius patrum citationibus minus accuratis in nonnullos sacri textus Codices irrepsisse, atque adeo variae demum lectioni ortum dedisse, quemadmodum de illis: ὁ πατήρ, Luc. XVIII, 19. supra notavimus ad num. 15.“

[1]) Cfr. Rom. VIII, 28.

[2]) Edd. Oxon. et Ruaei: „παρ᾽ αὐτοῖς.“ — Anglus: „Male, ut opinor, scriptum pro: παρ᾽ αὐτούς, id est: *per se*, seu: *sponte sua et ex proprio arbitrio.* Ita supra num. 6. τούτου ἐπαινετοῦ, ἢ ψεκτοῦ γινομένου παρ᾽ ἡμᾶς. Et Philocal. (ex ed. Spenc.) pag. 64. παρ᾽ ἡμᾶς τὸ σώζεσθαι γίνεται. Atque contra Celsum lib. IV. num. 70. Καὶ ὁ ἀπόστολος δὲ τοῦ Ἰησοῦ Παῦλος, διδάσκων ἡμᾶς, συνοίσειν μὲν τῇ χρείᾳ τῇ τοῦ παντὸς καὶ τοὺς φαυλοτάτους, παρ᾽ ἑαυτοὺς δὲ ἔσεσθαι ἐν τοῖς ἀπευκτοῖς, hoc est, ut paulo post dicit: παρ᾽ ἑαυτῶν αἰτίαν, sive, uti loquitur ibidem lib. V. num. 10., ἐκ τοῦ ἐν αὐτοῖς αὐτεξουσίου. Eodem vero modo hac phrasi utitur Diogenianus Peripateticus contra Chrysippum de Fato disputans apud Euseb. Praep. Evang. VI, 8., ubi dicit: τὸ παρ᾽ ἡμᾶς τῷ καθ᾽ εἱμαρμένην ἐναντιώτατον εἶναι· — παρ᾽ ἡμᾶς δὲ, ὅσα ἐκ τοῦ σπουδάζειν ἡμᾶς, καὶ ἐνεργεῖν, ἐπὶ τέλος ἔρχεται, —· δῆλον γίνεται, ἀπολελύσθαι τῆς εἱμαρμένης τὴν παρ᾽ ἡμᾶς αἰτίαν. Et paulo post, si res, inquit, fiant παρά τινα εἱμαρμένην, καὶ κατὰ αἰτίαν ἔξωθεν ἀναγκαίαν —, οὕτω τέλεον ἡ παρ᾽ ἡμᾶς ἐξουσιαστικὴ δύναμις ἀναιρεῖται.“

[3]) Cfr. Luc. XI, 4. coll. Matth. VI, 13.

[4]) Cfr. Matth. VI, 13.

[5]) Edd. Oxon. et Ruaei: „εἰκός τε.“ — Anglus:

πρὸς μὲν τὸν μαθητήν, ἅτε δὴ ὠφελημένον, εἰρηκέναι τὸν κύριον τὸ ἐπιτομώτερον· πρὸς δὲ τοὺς πλείονας δεομένους τρανότερον[1]) διδασκαλίας, τὸ σαφέστερον. Ῥύεται[2]) δὲ ἡμᾶς ὁ θεὸς ἀπὸ τοῦ πονηροῦ, οὐχὶ ὅτε οὐδαμῶς ἡμῖν πρόσεισιν ἀντιπαλαίων ὁ ἐχθρὸς δι' οἵων δήποτε μεθοδειῶν ἑαυτοῦ, καὶ ὑπηρετῶν τοῦ θελήματος αὐτοῦ, ἀλλ' ὅτε νικῶμεν ἀνδρείως ἱστάμενοι πρὸς τὰ συμβαίνοντα. Οὕτως δὲ ἐξειλήφαμεν καὶ τό· „πολλαὶ[3]) αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύεται[4]) αὐτούς." Ῥύεται γὰρ ἀπὸ τῶν θλίψεων ὁ θεός, οὐχὶ μὴ γινομένων ἔτι θλίψεων· εἴγε καὶ ὁ Παῦλός φησι τό· „ἐν[5]) παντὶ θλιβόμενοι·" ὡς μηδὲ πώποτε οἱ θλιβόμενοι· ἀλλ' ὅτε θλιβόμενοι, βοηθείᾳ θεοῦ μὴ στενοχωρούμεθα· τοῦ μὲν θλίβεσθαι κατά τι πάτριον παρ' Ἑβραίοις οὕτω σημαινομένου ἐπὶ τοῦ ἀπροαιρέτως συμβαίνοντος περιστατικοῦ, τοῦ δὲ στενοχωρεῖσθαι ἐπὶ τοῦ προαιρετικοῦ[6]) ὑπὸ τῆς θλίψεως νενικημένου, καὶ ἐνδεδωκότος αὐτῇ.[7]) Ὅθεν καλῶς ὁ Παῦλός φησιν· „ἐν[8]) παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι."

„Vacat haec particula: τε, aut fortasse, ut assolet, scripta est pro: γε."

[1]) Ruaeus absque causa in notis: „Forte legendum: τρανοτέρας."

[2]) Cfr. Matth. VI, 13.

[3]) Cfr. Psalm. XXXIV, 19. (XXXIII.)

[4]) Anglus: „Edd. omnes LXX. virorum versionis habent: ῥύσεται αὐτοὺς ὁ θεός."

[5]) II Cor. IV, 8.

[6]) Anglus non male: „Rectius, ni fallor, legas: προαιρετικῶς, sicut ante: ἀπροαιρέτως. Sic Clem. Alex. Stromat. lib. VII. pag. 855 (ex ed. Potteri) dicit: ἑκουσίως καὶ προαιρετικῶς σπεύσει εἰς τὴν σωτηρίαν."

[7]) Edd. Oxon. et Ruaei in textu: „αὐτῷ;" ed. vero R. in notis: „Lego cum Bentlejo: αὐτῇ, nempe: τῇ θλίψει." — Item Anglus.

[8]) II Cor. IV, 8.

Ὅμοιον δὲ [1]) τοῦτο εἶναι νομίζω καὶ τὸ ἐν ψαλμοῖς· „ἐν [2]) θλίψει ἐπλάτυνάς με." Συνεργίᾳ γὰρ καὶ παρουσίᾳ τοῦ παραμυθουμένου καὶ σώζοντος ἡμᾶς λόγου θεοῦ, τὸ τῆς διανοίας ἡμῶν ἱλαρὸν, καὶ εὔθυμον ἐν τῷ καιρῷ τῶν περιστατικῶν ἀπὸ θεοῦ γινόμενον, πλατυσμὸς ὠνόμασται. Ὁμοίως οὖν νοητέον καὶ τὸ ῥυσθῆναί [3]) τινα ἀπὸ τοῦ πονηροῦ. Ἐῤῥύσατο ὁ [4]) θεὸς τὸν Ἰὼβ, οὐχὶ τῷ μὴ εἰληφέναι τὸν διάβολον ἐξουσίαν τοῖςδέ τισι τοῖς πειρασμοῖς αὐτὸν περιβαλεῖν, — εἴληφε γὰρ, — ἀλλὰ τῷ ἐν πᾶσι τοῖς συμβεβηκόσι [5]) μηδὲν ἁμαρτεῖν αὐτὸν ἐνώπιον τοῦ κυρίου, ἀλλὰ ἀναφανῆναι δίκαιον· τοῦ εἰπόντος· „μὴ [6]) δωρεὰν σέβεται Ἰὼβ τὸν κύριον; Οὐ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ, καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ, καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτῷ κύκλῳ, ἔργα αὐτοῦ εὐλόγησας; καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς; Ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων ὧν ἔχει· ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει·" καταισχυνθέντος, ὡς καὶ τότε καταψευσαμένου κατὰ τοῦ Ἰὼβ, ὅστις τοσαῦτα παθὼν,

---

[1]) Cod. Mscr. „δὶ τοῦτο." Ed. Oxon. „δὴ τοῦτο." R. — Rectius, opinor, legeris: „δὲ τούτῳ."

[2]) Cfr. Psalm. IV, 1. [3]) Cfr. Matth. VI, 13.

[4]) Ed. Ruaei, itemque, si a verbis: „τὸν Ἰώβ," discesseris, ed. Oxon. in textu: „Ἐῤῥύσατο ὁ θεὸς, οὐχὶ τῷ μὴ εἰληφέναι ἐξουσίαν τοῖσδέ τισι τοῖς πειρασμοῖς αὐτὸν περιβαλεῖν, εἴληφε γὰρ, ἀλλὰ ἐν πᾶσι τοῖς" κτλ., ed. vero R. in notis: „Post verba: ὁ θεός, ed. Oxon. intra uncinulos habet: τὸν Ἰώβ, quod desideratur in Cod. Mscr., licet id sensus postulet." — Anglus satis accurate: „Mancus est totus hic locus, quem sic restituendum opinor: Ἐῤῥύσατο γὰρ ὁ θεὸς τὸν Ἰὼβ, οὐχὶ τῷ μὴ εἰληφέναι τὸν διάβολον ἐξουσίαν τοιοῖσδέ τισι τοῖς πειρασμοῖς αὐτὸν περιβαλεῖν, εἴληφε γὰρ, ἀλλὰ τῷ ἐν πᾶσι τοῖς κτλ. Neque enim aliter perfectam reddes sententiam."

[5]) Cfr. Job. I, 22. [6]) Cfr. Job. I, 9—11.

οὐχ ὡς ἔλεγεν ὁ ἀντικείμενος, εἰς πρόσωπον εὐλόγει τὸν θεὸν, ἀλλὰ καὶ παραδοθεὶς τῷ πειράζοντι, ἐπιμένει [1]) εὐλογῶν τὸν κύριον, ἐπιτιμῶν τῇ γυναικὶ λεγούσῃ· „εἰπόν [2]) τι ῥῆμα πρὸς κύριον, καὶ τελεύτα·“ καὶ ἐπιπλήσσων ἐν τῷ φάσκειν· „ὥσπερ [3]) μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας. Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, κακὰ οὐχ ὑποίσομεν;“ καὶ δεύτερον δὲ περὶ τοῦ Ἰὼβ ὁ διάβολος εἶπε τῷ κυρίῳ· „δέρμα [4]) ὑπὲρ δέρματος, ὅσα ὑπάρχει τῷ ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει. Οὐ μὴν δὲ, ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι τῶν ὀστῶν αὐτοῦ, καὶ τῶν σαρκῶν αὐτοῦ· ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.“ Νενικημένος δὲ ὑπὸ τῶν τῆς ἀρετῆς ἀθλητοῦ, ψευδὴς ἀποδείκνυται· καί τοι γὰρ τὰ χαλεπώτατα πεπονθὼς, ἐπέμεινε μηδὲν ἁμαρτῶν [5]) τοῖς χείλεσιν ἐνώπιον τοῦ θεοῦ. Δύο δὲ παλαίσματα παλαίσας ὁ Ἰὼβ καὶ νικήσας, τρίτον οὐκ ἀγωνίζεται [6]) τηλικοῦτον ἀγῶνα. Ἔδει γὰρ τὴν περὶ τῶν τριῶν πάλην τηρηθῆναι τῷ σωτῆρι, ἥτις ἐν τοῖς τρισὶν εὐαγγελίοις ἀναγέγραπται, [7]) τὰ τρία νικήσαντος τοῦ κατὰ τὸν ἄνθρωπον σωτῆρος ἡμῶν νοουμένου, τὸν ἐχθρόν. Ἵν' οὖν νοοῦντες αἰτῶμεν τὸν θεὸν τὸ μὴ εἰσελθεῖν [8]) εἰς πειρασμὸν, καὶ τὸ ῥυσθῆναι [9])

---

[1]) Anglus: „Lege: ἐπέμεινεν. Nam de praeterito loquitur. Sic autem paulo post: χαλεπώτατα πεπονθὼς ἐπέμεινε.“ — Cui quidem Ruaeus haec respondet: „ἐπιμένει potest retineri. Saepe enim res praeteritae tanquam praesentes narrantur.“

[2]) Cfr. Job. II, 9. [3]) Job. II, 10.

[4]) Cfr. Job. II, 4. 5. [5]) Cfr. Job. II, 10.

[6]) Cod. Mscr. „ἀγωνίζεται.“ Ed. Oxon. „ἀγωνίζηται.“ R.

[7]) Cfr. Matth. IV, 1—11. coll. Marc. I, 12. 13. et Luc. IV, 1—13.

[8]) Cfr. Matth. VI, 13. coll. Luc. XI, 4.

[9]) Cfr. Matth. VI, 13.

ἀπὸ τοῦ πονηροῦ, ἐπιμελέστερον ταῦτα ἐξετάσαντες, καὶ παρ' ἑαυτοῖς ἐρευνήσαντες, ἄξιοι διὰ τοῦ ἀκούειν θεοῦ, τοῦ ἀκούσεσθαι[1]) ὑπ' αὐτοῦ γινόμενοι, παρακαλῶμεν πειραζόμενοι μὴ[2]) θανατοῦσθαι, καὶ βαλλόμενοι ὑπὸ τῶν τοῦ πονηροῦ πεπυρωμένων βελῶν,[3]) μὴ ἀνάπτεσθαι ὑπ' αὐτῶν. Ἀνάπτονται δὲ ὑπ' αὐτῶν πάντες, ὧν, κατά τινα τῶν δώδεκα,[4]) αἱ καρδίαι ὡς κλίβανος ἐγενήθησαν· οὐκ ἀνάπτονται δὲ οἱ τῷ θυρεῷ[5]) τῆς πίστεως πάντα σβέννυντες τὰ ἐπιπεμπόμενα αὐτοῖς πεπυρωμένα ὑπὸ τοῦ πονηροῦ βέλη· ἐπὰν ἔχωσιν ἐν ἑαυτοῖς ποταμοὺς ὕδατος[6]) ἀλλομένου εἰς ζωὴν αἰώνιον, τοὺς μὴ ἐῶντας ἰσχύσαι τὰ[7]) τοῦ πονηροῦ, ἀλλὰ εὐχερῶς αὐτὰ λύοντας τῷ κατακλυσμῷ τῶν ἐνθέων καὶ σωτηρίων λογισμῶν, ἐντυπουμένων ἀπὸ τῶν τῆς ἀληθείας θεωρημάτων τῇ τοῦ ἀσκοῦντος εἶναι πνευματικοῦ ψυχῇ.

31. Δοκεῖ δέ μοι μετὰ ταῦτα οὐκ[8]) ἄτοπον εἶναι ὑπὲρ τοῦ πληρωθῆναι τὸ περὶ τῆς εὐχῆς πρόβλημα, δια-

---

[1]) Cod. Mscr. „ἀκούσεσθαι." Ed. Oxon. „ἀκούεσθαι." R.

[2]) Cfr. II Cor. VI, 9.

[3]) Cfr. Ephes. VI, 16.

[4]) Cfr. Hos. VII, 6. coll. Luc. XXIV, 32.

[5]) Cfr. Ephes. VI, 16.

[6]) Cfr. ev. Joann. IV, 14.

[7]) Edd. Oxon et Ruaei, illa: „τὸ τοῦ πονηροῦ," haec vero: „τὰ τοῦ πονηροῦ." — Anglus, qui legit: „τὸ τοῦ πονηροῦ," in notis: „Deest plane aliquod verbum; quod non aliud esse potest, quam πῦρ, sicut ipse locus indicat. Lege igitur: τὸ τοῦ πονηροῦ πῦρ." — Ad quae quidem Angli verba Ruaeus haec respondet: „In Cod. Mscr. non legitur: τὸ τοῦ πονηροῦ, sed: τὰ τοῦ πονηροῦ, scil. βέλη πεπυρωμένα, de quibus supra agitur." — Cfr. Ephes. VI, 16.

[8]) Cod. Colbertinus: „οὐκ ἄτοπον εἶναι καὶ τὸ περὶ τῆς εὐχῆς πρόβλημα διαλαβεῖν." sicque desunt verba: „ὑπὲρ τοῦ πληρωθῆναι." Quae lectio non videtur spernenda. R.

λαβεῖν εἰσαγωγικώτερον περὶ τῆς καταστάσεως, καὶ τοῦ σχήματος, ὃ δεῖ ἔχειν τὸν εὐχόμενον, καὶ τόπου οὗ εὔχεσθαι χρὴ, καὶ κλίματος, εἰς ὃ ἀφορᾷν δεῖ χωρὶς πάσης περιστάσεως, καὶ χρόνου εἰς εὐχὴν ἐπιτηδείου καὶ ἐξαιρέτου, καὶ εἴ τι τούτοις ἐστὶν ὅμοιον. Καὶ τὸ μὲν τῆς καταστάσεως εἰς τὴν ψυχὴν ἐγκαταθετέον, τὸ δὲ τοῦ σχήματος, εἰς τὸ σῶμα. Φησὶ τοίνυν ὁ Παῦλος, ὡς [1]) ἐν τοῖς ἀνωτέρω [2]) ἐλέγομεν, τὴν κατάστασιν ὑπογράφων, ἐν τῷ δεῖν „προσεύχεσθαι [3]) χωρὶς ὀργῆς, καὶ διαλογισμοῦ·“ τὸ δὲ σχῆμα, ἐν τῷ· „ἐπαίροντας [4]) ὁσίους χεῖρας·“ ὅπερ εἰληφέναι μοι δοκεῖ ἀπὸ τῶν ψαλμῶν, οὕτως ἔχον· „ἔπαρσις [5]) τῶν χειρῶν μου θυσία ἑσπερινή·“ περὶ δὲ τόπου· „βούλομαι [6]) οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ·“ περὶ δὲ κλίματος, ἐν τῇ σοφίᾳ Σολομῶντος· „ὅπως [7]) γνωστὸν ᾖ, ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ' εὐχαριστίαν [8]) σου, καὶ πρὸ ἀνατολῆς φωτὸς ἐντυγχάνειν σοι.“ Δοκεῖ τοίνυν μοι τὸν μέλλοντα ἥκειν ἐπὶ τὴν εὐχὴν, ὀλίγον ὑποστάντα καὶ ἑαυτὸν εὐτρεπίσαντα, ἐπιστρεφέστερον καὶ εὐτονώτερον πρὸς τὸ ὅλον γενέσθαι τῆς εὐχῆς· πάντα [9])

---

[1]) Omissa sunt verba: „ὡς ἐν τοῖς ἀνωτέρω ἐλέγομεν,“ in Cod. Colbertino. R.

[2]) Scilicet num. 2. et 9.

[3]) Cfr. I Tim. II, 8. [4]) I Tim. II, 8.

[5]) Psalm. CXLI, 2. (CXL.)

[6]) I Tim. II, 8. [7]) Sap. Sal. XVI, 28.

[8]) Codd. Cantabrig. et Colbertinus: „εὐχαριστίαν.“ Ed. Oxon. „εὐχαριστίας.“ R.

[9]) Uterque Codex: „πάντα πειρασμόν.“ Ed. Oxon. „πάντα γογγυσμόν.“ Lego cum Bentlejo: „καὶ πάντα περισπασμόν.“ R. — Anglus, qui et ipse legit: „πάντα πειρασμόν,“ in notis: „Ita fere num. 20. Ὁ δὲ μὴ ὑποκριτὴς, ἀλλὰ πᾶν τὸ ἀλλότριον ἀποθέμενος, ἐν τῷ παντὸς τοῦ προειρημένου θεάτρῳ καθ' ὑπερβολὴν μείζονι, ἑαυτὸν ἀρέσκειν εὐτρεπίζων, εἰσέρχεται εἰς τὸ ἑαυτοῦ

πειρασμὸν καὶ λογισμῶν ταραχὴν ἀποβεβληκότα, ἑαυτόν τε ὑπομνήσαντα κατὰ τὸ δυνατὸν τοῦ μεγέθους, ᾧ προσέρχεται,[1] καὶ ὅτι ἀσεβές ἐστι τούτῳ χαῦνον καὶ ἀνειμένον προσελθεῖν, καὶ ὡσπερεὶ καταφρονοῦντα· ἀποθέμενον πάντα τὰ ἀλλότρια, οὕτως ἥκειν ἐπὶ τὸ εὔξασθαι, πρὸ τῶν χειρῶν ὡσπερεὶ τὴν ψυχὴν ἐκτείναντα, καὶ πρὸ τῶν ὀφθαλμῶν τὸν νοῦν πρὸς τὸν θεὸν ἐντείναντα, καὶ πρὸ τοῦ στῆναι διεγείραντα χαμόθεν τὸ ἡγεμονικὸν, καὶ[2]) στήσαντα αὐτὸ πρὸς τὸν τῶν ὅλων κύριον, πᾶσαν μνησικακίαν τὴν πρός τινα τῶν ἠδικηκέναι δοκούντων ἐπὶ τοσοῦτον ἀποθέμενον, ὅσον

ταμεῖον, ἐπὶ τοῦ ἐναποτεθησαυρισμένου πλούτου, τὸν τῆς σοφίας καὶ γνώσεως θησαυρὸν ἑαυτῷ ἀποκλείσας, καὶ μηδαμῶς ἔξω νεύων, μηδὲ περὶ τὰ ἔξω κεχηνὼς, πᾶσάν τε τὴν θύραν τῶν αἰσθητηρίων ἀποκλείσας, ἵνα μὴ ἕλκηται ὑπὸ τῶν αἰσθήσεων, μηδὲ ἐκείνων ἡ φαντασία τῷ νῷ αὐτοῦ ἐπεισκρίνηται, προσεύχεται τῷ τὸ τοιοῦτον κρυπτὸν μὴ φεύγοντι, μηδὲ ἐγκαταλείποντι πατρὶ, ἀλλ' ἐν αὐτῷ κατοικοῦντι, συμπαρόντος αὐτῷ καὶ τοῦ μονογενοῦς. Editor vero Oxon. a Codicis fide recedens, pro: πειρασμόν, hic reposuit: γογγυσμόν, idque, ut opinor, in deterius; cum de iis nunc rebus loquatur Origenes, quae cogitationes nostras inter orandum perturbant, mentesque a Dei veneratione cultuque avertunt: quae non γογγυσμοί, sed πειρασμοί proprie appellantur." — Equidem cum Bentlejo legerim: „πάντα περισπασμόν."

[1]) Uterque Codex, Cantabrigiensis scil. et Colbertinus: „προσέρχεται." Ed. Oxon „προσέρχηται." R. — Anglus: „Codd. Mss. προσέρχηται." — Ad quae tamen Angli verba Ruaeus haec respondet: „In utroque Codice Holmiensi et Colbertino legitur: προσέρχεται, non: προσέρχηται."

[2]) Edd. Oxon. et Ruaei: „καὶ στῆσαι αὐτό." — Anglus: „Ita perperam scripsit librarius pro: καὶ στήσαντα αὐτό, quod constructio postulat."

τις καὶ [1]) αὐτῷ ἀμνησικακεῖν τὸν θεὸν βούλεται ἠδικηκότι, καὶ εἰς πολλοὺς τῶν πλησίον ἡμαρτηκότι, ἢ ὁποῖα δήποτε παρὰ τὸν ὀρθὸν λόγον πεπραγμένα ἑαυτῷ συνειδότι. Οὐδὲ διστάσαι γὰρ χρὴ, ὅτι μυρίων καταστάσεων οὐσῶν τοῦ σώματος, τὴν κατάστασιν τὴν [2]) μετ' ἐκτάσεως τῶν χειρῶν καὶ ἀνατάσεως τῶν ὀφθαλμῶν πασῶν [3]) προκριτέον· οἱονεὶ τὴν εἰκόνα τῶν πρεπόντων ἰδιωμάτων τῇ ψυχῇ κατὰ τὴν εὐχὴν φέροντα [4]) καὶ ἐπὶ τοῦ σώματος. Ταῦτα δὲ λέγομεν χωρὶς πάσης περιστάσεως δεῖν γενέσθαι προηγουμένως· μετὰ γὰρ περιστάσεως δέδοται καθηκόντως ποτὲ καθεζόμενον εὔξασθαι διά τινα νόσον τῶν ποδῶν οὐκ εὐκαταφρόνητον, ἢ καὶ κατακείμενον διὰ πυρετοὺς, ἢ [5]) τοιαύτας ἀσθενείας·

---

[1]) Edd. Oxon. et Ruaei in textu, illa: „καὶ αὐτῷ (μὴ) μνησικακεῖν,“ haec: „καὶ αὐτῷ μνησικακεῖν,“ ed. vero R. in notis: „Sic male habet uterque Cod. Mscr. Lego: καὶ αὐτῷ ἀμνησικακεῖν.“ — Anglus, qui legit: „καὶ αὐτῷ μνησικακεῖν,“ in notis: „Legendum est plane: καὶ αὐτῷ ἀμνησικακεῖν, vel: καὶ αὐτῷ μὴ μνησικακεῖν. Vide num. 9.“

[2]) Anglus: „Nempe, ut *expansis manibus* in coelum *suspiciamus;* quem *orantis Christiani habitum* appellat Tertullianus Apol. cap. 30. Ita vero natura duce precabantur et ipsi Ethnici: *Πάντες οἱ ἄνθρωποι*, inquit Aristotel. de Mundo cap. 6., *ἀνατείνομεν τὰς χεῖρας εἰς τὸν οὐρανὸν εὐχὰς ποιούμενοι*. Sic de Graecorum exercitu Homerus Iliad. VIII. vers. 346. et 347.

— — — — —, καὶ πᾶσι θεοῖσιν
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος.“

[3]) Edd. Oxon. et Ruaei: „πάντων.“ — Anglus: „Lege: πασῶν, scil. καταστάσεων. Sic autem πάντων (pro: πασῶν) ἐντολῶν scribitur in Cod. Alex. Levit. IV, 27.

[4]) Anglus: „Lege: φέροντι. Scilicet: προκριτέον (αὐτῷ), οἱονεὶ τὴν εἰκόνα — κατὰ τὴν εὐχὴν φέροντι.“

[5]) Codd. Mss. „ἢ τοιαύτας.“ Ed. Oxon. „ἤτοι αὐτάς.“ R.

καὶ διὰ[1]) *περιεστῶτος δὲ φέρε εἰπεῖν, ἐὰν*[2]) *πλέωμεν, ἢ τὰ πράγματα μὴ*[3]) *ἐπιτρέπῃ ἀναχωροῦντας ἡμᾶς ἀποδοῦναι τὴν ὀφειλομένην εὐχὴν, ἐστὶν εὔξασθαι, μηδὲ προσποιούμενον τοῦτο ποιεῖν. Καὶ ἡ γονυκλισία δὲ ὅτι ἀναγκαία ἐστὶν, ὅτε τις μέλλει τῶν ἰδίων ἐπὶ θεοῦ ἁμαρτημάτων κατηγορεῖν, ἱκετεύων περὶ τῆς ἐπὶ τούτοις ἰάσεως, καὶ τῆς ἀφέσεως αὐτῶν, εἰδέναι χρὴ, ὅτι σύμβολον τυγχάνει τοῦ ὑποπεπτωκότος, καὶ ὑποτεταγμένου Παύλου λέγοντος· „τούτου*[4]) *χάριν κάμπτω τὰ γόνατά μου πρὸς*[5]) *τὸν πατέρα, ἐξ οὗ πᾶσα*[6]) *πα-*

---

[1]) Anglus: „Lege: *διὰ περιεστῶτα*, sicut ante: *διὰ νόσον, διὰ πυρετοὺς*" *κτλ.*

[2]) Anglus: „Ita fere Clem. Alex. Stromat. lib. VII. pag. 851. (ex ed. Potteri) *γεωργοῦμεν αἰνοῦντες, πλέομεν ὑμνοῦντες.*"

[3]) Edd. Oxon. et Ruaei in textu: „*μὴ ἐπιτρέπῃ ἀναχωροῦντας μὴ ἀποδοῦναι,*" ed. vero R. in notis: „Cod. Colbertinus: *μὴ ἐπιτρέπει.* Praeterea ante *ἀποδοῦναι* deleo particulam negantem: *μή.*" — Anglus: „Hoc *μή*, ante *ἀποδοῦναι*, per librarii incuriam repetitur, pro quo legendum certe est: *ἡμᾶς.*"

[4]) Cfr. Ephes. III, 14. 15.

[5]) Anglus: „Ita in Ephes. III, 14. habet Cod. Alexandrinus, uti et habebant omnes Graeci Codd., quos viderat Hieronymus; qui idcirco notat, verba illa: *τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ*, quae in edd. exstant, *Latinorum* esse *additamentum.* Millium vero, qui Hieronymo adversatur, fugit hic Origenis locus, notatu dignissimus; fugit et Cyrill. Hieros. Catech. 7., ubi eodem modo legitur. Fatendum est tamen, Origenem in Protrept. ad Martyrium pag. 176. ed. Basil. cum editis legere: *πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ*" *κτλ.*

[6]) Anglus: „In his Apostoli verbis nulla uspiam, teste Millio, variatio reperitur: editor vero Oxon. hoc tandem in loco *κρίσιν* suam exercens, novam nobis lectionem exsculpsit; nam Origenes, inquit, hic pro: *πατριά*, *legisse videtur: λατρεία, aliter ejus argumentatio minus consistit.* Horum autem ego rationem non video; quidni enim, si legatur: *πατριά*, consistat ejus ar-

τρία ἐν [1]) οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται." Τὴν δὲ νοητὴν γονυκλισίαν, οὕτως ὀνομαζομένην παρὰ τὸ ὑποπεπτωκέναι τῷ θεῷ ἐν τῷ ὀνόματι Ἰησοῦ, καὶ [2]) ἕκαστον τῶν ὄντων αὐτῷ ἑαυτὸν τεταπεινωκέναι, δηλοῦν μοι ὁ ἀπόστολος φαίνεται ἐν τῷ· „ἵνα [3]) ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων." Ἐσχηματίσθαι [4]) γὰρ τῶν ἐπουρανίων τὰ σώματα, ὡς καὶ γόνατα σωματικὰ ἔχειν αὐτὰ, ὑπολαμβάνειν οὐ πάνυ τι χρή· σφαιροειδῶν [5])

---

gumentatio, quae non ab his, sed a praecedd. plane Apostoli verbis ducitur? *Genuflectio*, inquit, *in precibus est necessaria, ut quae humilis demissique animi signum sit*, dicente Paulo: τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα, κτλ. Nihil certe in his causae est, cur in seqq. legeret, aut *legisse videatur*: λατρεία. Neque ita quidem legere potuit, nisi ipsius Apostoli argumentationem vellet subvertere; cum ex verbis sic lectis: ἐξ οὗ πᾶσα λατρεία — ὀνομάζεται, *ex quo totus cultus — nominatur*, nullus plane oriatur sensus, nisi qui sit ineptissimus."

[1]) Cod. Colbertinus: „ἐν οὐρανῷ." R.

[2]) Edd. Oxon. et Ruaei in textu: „καὶ ἑκάστου," ed. vero Ruaei in notis: „Lego: καὶ ἕκαστον." — Anglus non male: „Corrupit librarius hunc locum; quem ego sic sanandum esse arbitror: παρὰ τὸ ὑποπεπτωκέναι τῷ θεῷ ἐν τῷ ὀνόματι Ἰησοῦ ἕκαστον τῶν ὄντων, καὶ αὐτῷ ἑαυτὸ τεταπεινωκέναι. Ita enim recte stabit talo sententia."

[3]) Cfr. Philipp. II, 10.

[4]) In libello, quem Theodorus episcopus Scythopolitanus Justiniano Imperatori, et quatuor Patriarchis, Constantinopolitano, Alexandrino, Antiocheno, et Hierosolymitano obtulit, inter anathemata, quibus Origenis dogmata ferit, illud cap. V. sic legitur Biblioth. Coislinian. pag. 95. „Εἴ τις λέγει, ἢ ἔχει, ἢ φρονεῖ, ἢ διδάσκει ἐν τῇ ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων ἐγείρεσθαι σώματα, ἢ οὐχ ὁμολογεῖ ὀρθίους ἡμᾶς ἐγείρεσθαι· ἀνάθεμα ἔστω." Vide insuper Origenianor. lib. II. quaest. 9. num. 9. R. — Cfr. pag. huj. not. 5.

[5]) Anglus: „Mundum, et corpora omnia coelestia esse σφαιροειδῆ, docuit de *Anima Mundi* Timaeus Lo-

παρὰ τοῖς ἀκριβῶς περὶ τούτων διειληφόσιν ἀποδεδειγμένων αὐτῶν τῶν σωμάτων. Ὁ δὲ μὴ βουλόμενος τοῦτο παραδέξασθαι, καὶ τὰς χρείας ἑκάστου τῶν μελῶν, ἵνα μὴ μάτην ᾖ τι δεδημιουργημένον αὐτοῖς ὑπὸ τοῦ θεοῦ, ἐὰν μὴ ἀναιδεύηται πρὸς τὸν λόγον, παραδέξεται, ἑκατέρωθεν πταίων· εἴτε φήσει μέλη σώματος μάτην, καὶ μὴ ἐπὶ τῷ ἰδίῳ ἔργῳ γεγονέναι αὐτοῖς ὑπὸ τοῦ θεοῦ, εἴτε ἐρεῖ τὰ ἔγκατα, καὶ τὸ ἀπευθυσμένον[1])

---

crus, eumque secutus Plato in Timaeo, ut et Aristoteles de Coelo 2. 4. 8. Quin et eandem formam mundi fabricatori Deo Xenophanes, Plato, Stoicique tribuebant: quibus quidem, quod ad coelestium corpora attinet, suffragari hic videtur Origenes. Sed an Philosophos secutus eo usque processerit, ut *σφαιροειδῆ* esse diceret *τὴν εἰκόνα τοῦ ἐπουρανίου*, quam in coelis sancti induent, eorumque corpora, sine membrorum distinctione, conglobata figura suscitatum iri, vehementer addubito; etiamsi ob nonnulla minus caute dicta hoc ei dogma affictum, et sub ejus nomine ab Antiquis damnatum fuerit. Sic enim Justinianus in ep. ad Mennam: *λέγει* (*Ὠριγένης*), *ὅτι ἐν τῇ ἀναστάσει σφαιροειδῆ ἐγείρονται τὰ σώματα τῶν ἀνθρώπων. Ὢ τῆς ἀνοίας καὶ ἀμαθείας τοῦ φρενοβλαβοῦς τούτου τῶν ἑλληνικῶν δογμάτων ἐξηγητοῦ!* Et in Anathematismis epistolae subjunctis: *εἴ τις λέγει ἐν τῇ ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων σώματα ἐγείρεσθαι, καὶ οὐχ ὁμολογεῖ ὀρθίους ἡμᾶς ἐγείρεσθαι· ἀνάθεμα ἔστω. Ἀνάθεμα Ὠριγένει τῷ ταῦτα ἐκθεμένῳ, κτλ.* Concil. Tom. V. col. 664. et 680. Hanc vero calumniam satis refellit ipse Origenes in Psalm. I. dicens: ***Hanc speciem, quae nunc inest nobis, ipsam permansuram etiam in futuro saeculo***, uti verba ejus in Apologia citat Pamphilus; quae Graece sic exstant apud Epiphan. Haer. 64. num. 14. e Methodio: *νοητέον ἐπὶ τοῦ παρόντος, εἶδος ταὐτὸν εἶναι τῷ μέλλοντι.*" — Cfr. pag. 278. not. 4.

[1]) Cod. uterque: „*ἀπευθυσμένον.*" Lego cum Bentlejo: „*ἀπευθυμμένον.*" Pessime vero ed. Oxon. habet: „*πεπεισμένον.*" R. — Anglus: „In Lexicis vix reperitur haec vox, atque ideo, ut opinor, in ed. Oxon. ejus loco male substituitur: *πεπεισμένον*, quod et pejus latine redditur, nempe: *τὸ πεπεισμένον ἔντερον*, *quae illis esse concedit intestina.* Atqui in Cod. plane scriptum legi-

ἔντερον τὰς ἰδίας χρείας ἐπιτελεῖν, καὶ ἐν τοῖς ἐπουρανίοις. Σφόδρα δὲ μωρῶς ἀναστραφήσεται, ἐὰν τρό-

---

tur: *ἀπευθυσμένον ἔντερον*, id est: rectum intestinum; cujus saepe meminit, et loco non uno describit Gallenus, e. g. *De usu partium* lib. V., ubi *τὸ ἔντερον* in sex partes distinguit: *πρῶτον μὲν τὴν ἔκφυσιν, δεύτερον δὲ τὴν νῆστιν, τρίτον τὸ λεπτὸν ἔντερον, τέταρτον τὸ τυφλὸν, πέμπτον τὸ κῶλον, καὶ ἕκτον τὸ ἀπευθυσμένον.* Itidem de Anatom. Administr. lib. VI. *πρῶτον ἡ ἔκφυσις, μετὰ ταῦτα ἡ νῆστις· τούτῳ δ' ἐφεξῆς ἐστι τὸ λεπτὸν, —, ἐπὶ τούτῳ δ' ἐστὶ τὸ τυφλὸν, εἶτα τὸ κῶλον, ἐφ' ᾧ κατὰ πέρας ἄχρι τῆς ἕδρας ἐκτέταται τὸ ἀπευθυσμένον ὀνομαζόμενον ἔντερον.* Item *de San. Tuend.* lib. I. *τὸ περίττωμα προπέμπεται κατὰ βραχὺ διὰ πάντων τῶν ἐντέρων ἄχρι τῆς κατὰ τὸ καλούμενον ἀπευθυσμένον κοιλότητος.* Ita quoque Galeno *σύγχρονος* Pollux lib. II. Segm. 210. *τῷ μὲν κώλῳ* (scil. *ἐντέρῳ*) *τὸ ἀπευθυσμένον ἕπεστιν.* His autem quingentis circiter annis antiquior Aristoteles, quando primum *τὸ ἔντερον* ab Anatomicis in partes distingui coepit, etsi hoc vocabulo non utitur, ejus tamen etymon ortumque nobis ostendit, de Part. Animal. 3. 14. *πᾶσι τοῖς μὴ εὐθυεντέροις — εὐρύτερον γίνεται τοῦτο τὸ μόριον* (scil. *ἔντερον*) *καὶ τὸ καλούμενον κῶλον ἔχουσι, καὶ τοῦ ἐντέρου τυφλόν τι —· τὸ δὲ μετὰ τοῦτο εὐθὺ πρὸς τὴν ἔξοδον διατείνει τοῦ περιττώματος.* Nam postrema haec plane indicant intestinum illud, quod *ἀπευθυσμένον* postea dictum est. Hujus vero intestini, quod sentinae instar ad excrementa corporis recipienda, et egerenda, comparatum est, mentionem facit Origenes, ut eos pudore afficiat, qui membra eadem omnia, quae terrestribus sunt necessaria, coelestibus quoque attribuunt. Non ab re vero erit notasse, novam istam collationem, quam crepat Wetstenius, pro: *ἀπευθυσμένον*, quod Codicis est, novum hic et nihili plane verbum: *ἀπευθισμένον*, nobis exhibere."

που ἀνδριάντων τις νομίζῃ τὴν μὲν ἐπιφάνειαν μόνην εἶναι ἀνθρωποειδῆ, οὐκέτι δὲ καὶ τὰ ἐν βάθει. Ταῦτα δέ μοι λέγεται[1]) *ἐξετάζοντι τὴν γονυκλισίαν, καὶ ὁρῶντι, ὅτι „ἐν*[2]) *τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων." Ἀλλὰ καὶ τὸ ἐν τῷ προφήτῃ γεγραμμένον· „ἐμοὶ*[3]) *κάμψει πᾶν γόνυ·" ταὐτόν ἐστι. Καὶ περὶ τόπου δὲ, ἰστέον, ὅτι πᾶς*[4]) *τόπος ἐπιτήδειος εἰς τὸ εὔξασθαι ὑπὸ τοῦ καλῶς εὐχομένου γίνεται· „ἐν*[5]) *παντὶ γὰρ τόπῳ θυμίαμά μοι προσάγετε,*[6]) *λέγει κύριος·" καί· „βούλομαι*[7])

[1]) Cod. uterque: „*λέγεται.*" Ed. Oxon. „*λέγηται.*" R.

[2]) Cfr. Philipp. II, 10. [3]) Jesai. XLV, 23.

[4]) Anglus: „Uberius hoc illustrat Origenes contra Cels. lib. VII. num. 44. *Χριστιανὸς δὲ, καὶ ὁ ἰδιώτης, πάντα μὲν τόπον τοῦ κόσμου πέπεισται εἶναι μέρος τοῦ ὅλου, ναοῦ τοῦ θεοῦ ὄντος τοῦ παντὸς κόσμου. Ἐν παντὶ δὲ τόπῳ εὐχόμενος, μύσας τοὺς τῆς αἰσθήσεως ὀφθαλμοὺς, καὶ ἐγείρας τοὺς τῆς ψυχῆς, ὑπεραναβαίνει τὸν ὅλον κόσμον. Καὶ οὐδ' ἐπὶ τὴν ἀψῖδα ἵσταται τοῦ οὐρανοῦ, ἀλλ' εἰς τὸν ὑπερουράνιον γενόμενος τῇ διανοίᾳ τόπον, ὁδηγούμενος ὑπὸ τοῦ θεοῦ πνεύματος, καὶ ὡσπερεὶ ἔξω τοῦ κόσμου τυγχάνων, ἀναπέμπει οὐ περὶ τῶν τυχόντων τὴν εὐχὴν τῷ θεῷ. Ἔμαθε γὰρ ἀπὸ τοῦ Ἰησοῦ μηδὲν μικρὸν, τουτέστιν αἰσθητὸν, ζητεῖν, ἀλλὰ μόνα τὰ μεγάλα, καὶ ἀληθῶς θεῖα, ὅσα συμβάλλεται διδόμενα ὑπὸ τοῦ θεοῦ, πρὸς τὸ ὁδεῦσαι ἐπὶ τὴν παρ' αὐτῷ διὰ τοῦ υἱοῦ αὐτοῦ λόγου ὄντος θεοῦ μακαριότητα.* Sic etiam Clemens Alexandr. Stromat. lib. VII. pag. 856. (ex ed. Potteri) *Πᾶς οὖν τόπος ἱερὸς τῷ ὄντι, ἐν ᾧ τὴν ἐπίνοιαν τοῦ θεοῦ λαμβάνομεν.*"

[5]) Cfr. Malach. I, 11.

[6]) Anglus non male: „Lege: *προσάγεται*, uti recte habent edd. LXX. viror. versionis Complut. Aldin. Rom. In Cod. vero Alex. male scribitur: *προσαγάγετε*, atque ita quidem hic Cod. Holm. *προσάγετε*. Vid. num. 3."

[7]) I Tim. II, 8.

οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ.“ Ἔχει δὲ καὶ τεταγμένον ὑπὲρ τοῦ ἐφ᾽ ἡσυχίας μὴ περισπώμενον τὰς εὐχὰς ἐπιτελεῖν[1]) *ἕκαστον, ἐπιλεξάμενον τοῦ ἰδίου οἴκου, ἐὰν ἐγχωρῇ, τὸ σεμνότερον, ἵν᾽ οὕτως εἴπω, χωρίον, οὕτως εὔχεσθαι, πρὸς τῷ καθολικῷ τῆς περὶ αὐτοῦ ἐξετάσεως ἐπισκοποῦντα,*[2]) *εἰ ἐν τῷδε τῷ τόπῳ, ᾧ εὔχεται, οὐ παρανενόμηταί ποτε, καὶ παρὰ τὸν ὀρθὸν λόγον πεποίηται· οἱονεὶ γὰρ οὐ μόνον ἑαυτὸν, ἀλλὰ καὶ τὸν τόπον τῆς ἰδίας εὐχῆς τοιοῦτον πεποίηκεν, ὡς φυγεῖν ἐκεῖθεν τὴν ἐπισκοπὴν τοῦ θεοῦ. Ἐπισκοποῦντι δέ μοι ἐπὶ πλεῖον καὶ περὶ*[3]) *τούτου τοῦ τόπου, λεκτέον, δόξαν μὲν ἄν τι εἶναι βαρὺ, τάχα δὲ τῷ ἐπιμελῶς αὐτὸ βασανίζοντι οὐκ εὐκαταφρόνητον. Ἐν γὰρ τῷ τόπῳ τῆς*[4]) *παρανόμου μίξεως, ὑπὸ τοῦ ἀποστολι-*

---

[1]) Cod. Colbertinus: „*ποιεῖν ἕκαστον.*“ R.

[2]) Cod. uterque: „*ἐπισκοποῦντα.*“ Ed. Oxon. „*ἐπισκοπούσης.*“ R.

[3]) Anglus absque causa: „*De hoc loco,* id est, hoc argumento, seu dicendi capite. Nam Origenes hic more rhetorum, et philosophorum, utitur voce: *τόπος.* Quem morem Hierocles ap. Photium col. 1389. sic explicat: *Εἰώθαμεν*, inquit, *περὶ γραμμάτων τινῶν διηγούμενοι λέγειν, ὅτι κατ᾽ ἐκεῖνον τὸν τόπον τοῦ λόγου γενόμενοι ἐροῦμεν τὸ κεφάλαιον ἐκεῖνο, καὶ τὸ εἶδος τῶν γραμμάτων, τόπον καλοῦντες.* Ita Origen. postea precum *τόπους*, seu capita, quatuor recenset, num. 33.“

[4]) Ed. R. in textu: „*τῆς παρανόμου μίξεως, ὑπὸ τοῦ,*“ in notis satis accurate: „Cod. uterque: *τῆς παρανόμου μίξεως ὑπὸ τοῦ ἀποστολικοῦ λόγου.* Lego cum Bentlejo: *τῆς ἀπαρανόμου μίξεως, ὑπὸ τοῦ.* Ed. Oxoniensis: *τῆς παρανόμου μίξεως, ἀλλὰ ὑπὸ τοῦ ἀποστολικοῦ.*“ — Anglus non male: „Corruptus certe est hic locus; nam Apostoli verbis manifeste repugnat, atque dictu impium est, eum Christianis *κατὰ συγγνώμην* indulsisse *τὴν παράνομον μίξιν.* Sic igitur refingendum, et

κοῦ λόγου κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγὴν συγκεχωρημένης, ἐξεταστέον, εἰ ὅσιόν ἐστι καὶ καθαρὸν ἐντυγχάνειν τῷ θεῷ. Εἰ γὰρ σχολάσαι[1]) τῇ προσευχῇ ὃν τρόπον χρὴ, οὐχ οἷόν τέ ἐστιν, ἐὰν μὴ ἐκ συμφώνου πρὸς καιρὸν τούτῳ τις ἑαυτὸν ἐπιδῷ, τάχα καὶ περὶ τοῦ τόπου ἐὰν ἐγχωρῇ, θεωρητέον. Ἔχει δέ τι ἐπίχαρι εἰς ὠφέλειαν τόπος εὐχῆς, τὸ χωρίον τῆς ἐπὶ τὸ αὐτὸ τῶν πιστευόντων συνελεύσεως, ὡς εἰκὸς, καὶ ἀγγελικῶν δυνάμεων ἐφισταμένων τοῖς ἀθροίσμασι τῶν πιστευόντων, καὶ αὐτοῦ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν δυνάμεως, ἤδη δὲ καὶ πνευμάτων[2]) ἁγίων, οἶμαι δὲ,[3]) ὅτι καὶ προκεκοιμημένων· σαφὲς δὲ, ὅτι καὶ ἐν τῷ βίῳ περιόντων, εἰ καὶ τὸ πῶς, οὐκ εὐχερὲς εἰπεῖν. Καὶ περὶ μὲν ἀγγέλων οὕτως ἐπιλογιστέον· εἰ „παρεμβαλεῖ[4]) ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται[5]) αὐτούς·“ καὶ ἀληθεύει ὁ Ἰακὼβ, οὐ περὶ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ περὶ πάντων τῶν ἀνακειμένων

---

ad sanum sensum reducendum esse arbitror: Ἐν γὰρ τῷ τόπῳ, οὐ μόνον τῆς παρανόμου μίξεως, ἀλλὰ καὶ τῆς ὑπὸ τοῦ ἀποστολικοῦ λόγου κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγὴν συγκεχωρημένης. κτλ. Dubitat scil. Origenes, an non modo non in loco παρανόμου μίξεως, sed ne in loco quidem legitimi concubitus, ab Apostolo concessi, sit orandum.“ — Cui Ruaeus haec respondet: „Codex uterque Holmiens. et Colbertin. habet: τῆς παρανόμου μίξεως ὑπὸ τοῦ κτλ. Pro: παρανόμου, lege cum Bentlejo: ἀπαρανόμου, et omnia sana erunt.“ — Equidem ab Angli partibus steterim, cum per se, tum propter verba in ed. Oxon. obviam facta.

1) Cfr. I Cor. VII, 5.

2) Legit Bentlejus: „πνευμάτων τῶν ἁγίων.“ R.

3) Ed. Oxoniensis: „δή.“

4) Psalm. XXXIV, 7. (XXXIII.)

5) Anglus: „Cod. Mscr. ῥύσηται.“

τῷ θεῷ τῷ[1]) συνιέντι λέγων· „ὁ[2]) ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν·“ εἰκός ἐστι πλειόνων[3]) συνεληλυθότων γνησίως εἰς δόξαν Χριστοῦ, παρεμβαλεῖν τὸν ἑκάστου ἄγγελον τὸν[4]) κύκλῳ ἑκάστου τῶν φοβουμένων, μετὰ τούτου τοῦ ἀνδρὸς, ὃν φρουρεῖν καὶ οἰκονομεῖν πεπίστευται· ὥστε εἶναι ἐπὶ τῶν ἁγίων συναθροιζομένων διπλῆν[5]) ἐκκλησίαν· τὴν μὲν ἀνθρώπων, τὴν δὲ ἀγγέλων. Καὶ εἰ μόνου τοῦ Τωβὴτ ὁ Ῥαφαὴλ φησιν εἰς μνημόσυνον[6]) ἀνενηνοχέναι τὴν προσευχὴν, καὶ μετ' αὐτὸν Σάῤῥας τῆς[7]) ὑστέρας νύμφης γενομένης αὐτοῦ διὰ τὸ γεγαμῆσθαι αὐτὴν τῷ Τοβίᾳ, τί λεκτέον πλειόνων ἐν τῷ αὐτῷ νοῒ, καὶ τῇ αὐτῇ γνώμῃ συνοδευόντων, καὶ σωματοποιουμένων ἐν Χριστῷ; Περὶ δὲ τῆς δυνάμεως τοῦ κυρίου συμπαρούσης τῇ ἐκκλησίᾳ ὁ Παῦλός φησι· „συναχθέντων[8]) ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ·“ ὡς δυνάμεως τοῦ κυρίου Ἰησοῦ συναπτομένης οὐ μόνον μετὰ Ἐφεσίων,[9]) ἀλλὰ καὶ Κορινθίων. Καὶ εἰ ὁ ἔτι τὸ

---

[1]) Anglus: „Id est: τῷ συνιέναι δυναμένῳ, uti dixit num. 29.

[2]) Genes. XLVIII, 16.

[3]) Cod. Colbertinus: „πολλῶν.“ R.

[4]) Bentlejus delet: „τόν.“ R.

[5]) Anglus: „Eadem habet verba Origenes (interprete Hieronymo) Hom. XXIII. in Lucam: *duplex hic adest ecclesia, una hominum, altera angelorum.*“

[6]) Cfr. Tob. XII, 12.

[7]) Desunt verba: „τῆς ὑστέρας,“ in Cod. Colbertino. R. — Anglus: „Hoc minus verum est, cum nullam ante Saram uxorem habuerit Tobias. Lege igitur: τῆς ὕστερον νύμφης κτλ., id est: *quae postea nurus ejus facta est.*“

[8]) Cfr. I Cor. V, 4.

[9]) Anglus: „Hunc Origenis locum, notatu dignissimum, praetermisit Millius. Vide Millii Annotat. in istius epistolae subscriptionem, et Prolegomen. sect. 9.“

σῶμα περικείμενος Παῦλος συνάρασθαι νενόμικε τῷ ἑαυτοῦ πνεύματι ἐν[1]) *τῇ Κορίνθῳ, οὐκ ἀπογνωστέον οὕτω καὶ τοὺς ἐξεληλυθότας μακαρίους φθάνειν τῷ πνεύματι, τάχα μᾶλλον τοῦ ὄντος ἐν τῷ σώματι, ἐπὶ τὰς ἐκκλησίας. Διόπερ οὐ καταφρονητέον τῶν ἐν αὐταῖς εὐχῶν, ὡς ἐξαίρετόν τι ἐχουσῶν τῷ γνησίως συνερχομένῳ αὐτῶν. Ὥσπερ δὲ δύναμις Ἰησοῦ, καὶ τὸ πνεῦμα Παύλου, καὶ τῶν ὁμοίων, καὶ οἱ παρεμβάλλοντες ἑκάστου τῶν ἁγίων κύκλῳ ἄγγελοι κυρίου συνοδεύουσι, καὶ συνέρχονται τοῖς γνησίως συναθροιζομένοις, οὕτω στοχαστέον, μήποτε ἐὰν ἁγίου ἀγγέλου ἀνάξιός τις ᾖ, ἑαυτὸν*[2]) *ἀγγέλῳ διαβόλῳ παραδῷ δι'*

---

[1]) Anglus: „Desunt plane personae, quibus Paulus *συνάρασθαι νενόμικε*. Legas igitur oportet: *συνάρασθαι νενόμικε τῷ ἑαυτοῦ πνεύματι τοῖς ἐν τῇ Κορίνθῳ.*“

[2]) Edd. Oxon. et Ruaei in textu, illa: „*καὶ ἐπὶ τὸ ἑαυτοῦ ἀγγέλλων διαβόλῳ δι' ὧν ἁμαρτάνει, καὶ θεοῦ καταφρονῶν παρανομεῖ,*“ haec: „*ἑαυτὸν ἀγγέλῳ διαβόλῳ παραδῷ δι' ὧν ἁμαρτάνων παρανομεῖ.*“ Ed. Ruaei in notis: „Sic recte habet Cod. Colbertinus, Cod. Cantabrigiensis autem: *καὶ ἐπὶ τῷ ἑαυτὸν ἀγγέλων διαβόλῳ δι' ὧν ἁμαρτάνει, καὶ θεοῦ καταφρονῶν παρανομεῖ.*“ — Anglus, qui in fronte ponit verba: „*καὶ ἐπί τῳ ἑαυτὸν ἀγγέλλων διαβόλῳ,*“ in notis: „Ita corruptum dedit hunc locum dormitans librarius; quem et multo corruptiorem reddidit ed. Oxoniens. sic exhibens: *καὶ ἐπὶ τὸ ἑαυτοῦ ἀγγέλλων διαβόλῳ.* Vera autem, ut opinor, haec est lectio: *καὶ ἐπιδῷ ἑαυτὸν ἀγγέλῳ διαβόλου, se ipsum dedat angelo diaboli.* Sic Origenes supra: *τούτῳ τίς ἑαυτὸν ἐπιδῷ;* Et Origeni *σύγχρονος* Herodianus lib. I. *δεδιὼς μὴ νεότης — κραιπάλαις ἐπιδῷ ἑαυτήν.* His vero quae de *sancto angelo*, et *angelo diaboli* dicit, consona habet in Hom. XII. in Lucam: *Unicuique duo assistunt angeli, alter justitiae, alter iniquitatis. Si bonae cogitationes in corde nostro fuerint, —, haud dubium, quin nobis loquatur angelus Domini; si vero mala*

ὢν ἁμαρτάνων παρανομεῖ· ὅτι ὁ τοιοῦτος, σπανίων μὲν τῶν ὁμοίων αὐτῷ τυγχανόντων, οὐκ ἐπιπολὺ λήσεται [1]) τῆς τῶν ἀγγέλων προνοίας, ὑπηρεσίᾳ τοῦ θείου βουλήματος [2]) ἐπισκοποῦντος τὴν ἐκκλησίαν, φερούσης

---

fuerint in corde nostro versata, loquitur nobis angelus diaboli. Quae quidem Hermae verba sunt, (Mand. 6.) et sub ejus nomine citantur iterum ab Origene in Homil. XXXV. in Lucam, et περὶ ἀρχῶν III, 2. Sic autem Comm. in Matth. Tom. XIII. num. 28. dicit, hominibus malis et infidelibus μὴ παρεῖναι ἅγιον ἄγγελον, sed eos, dum in ἀπιστίᾳ permanent, ὑπὸ τοῖς ἀγγέλοις εἶναι τοῦ σατανᾶ. Quod et Hermae testimonio (e Simil. 6. 7. 8.) confirmat Tom. XIV. num. 21. ληφθείη ἂν τὸ ἀπὸ τοῦ Ποιμένος περί τινων ἅμα μὲν τῷ πιστεύειν ὑπὸ τῷ Μιχαὴλ γινομένων, διὰ δὲ φιληδονίαν ἀποπιπτόντων ἐκείνου, καὶ γινομένων ὑπὸ τὸν (lege: τῷ) τῆς τρυφῆς κτλ. Quibus gemina fere sunt illa in Libelli hujus num. 6. καὶ τῷδε μέν τινι τοιῷδε ἐσομένῳ τόνδε τὸν ἄγγελον λειτουργὸν ἐπιπέμψω, ἀπὸ τοῦδε ἀρξόμενον τοῦ χρόνου συνεργεῖν αὐτοῦ τῇ σωτηρίᾳ, καὶ μέχρι τοῦδε συνεσόμενον· τῷδε δὲ τόνδε, φέρε εἰπεῖν, τὸν τοῦδε τιμιώτερον τῷ τοῦδε ἐσομένῳ κρείττονι· τοῦδε δέ τινος μετὰ τὸ ἐπιδεδωκέναι ἑαυτὸν λόγοις τοῖς διαφέρουσιν ὑπεκλυθησομένου, καὶ παλινδρομήσοντος ἐπὶ τὰ ὑλικώτερα, ἀποστήσω τόνδε τὸν κρείττονα συνεργόν· οὗ ἀποστάντος, κατ' ἀξίαν, αὐτόχειρ ὢν τις ἥδε ἡ δύναμις, καιρὸν εὑρηκυῖα τοῦ ἐπιβαίνειν τῇ ῥαθυμίᾳ, ἐπιστᾶσα ἐπὶ τάδε τινὰ τὰ ἁμαρτήματα αὐτὸν, ἕτοιμον ἑαυτὸν πρὸς τὸ ἁμαρτάνειν δεδωκότα, προκαλέσεται."

[1]) Cod. uterque: „λήσεται." Ed. Oxon.: „λήσηται." R.

[2]) Anglus: „Absurde prorsus hoc dicitur; non enim ἐπισκοπεῖ voluntas divina, sed divinae voluntati obsequentes angeli ecclesiam ἐπισκοποῦσι. Omnino igitur hic lectum oportet: ἐπισκοπούντων, scil. ἀγγέλων. Ita

εἰς γνῶσιν τῶν πολλῶν τοῦ τοιούτου τὰ πταίσματα. Ἐὰν δὲ πλῆθος γενόμενοι οἱ τοιοῦτοι καθ' ἑταιρείας ἀνθρωπικὰς, καὶ σωματικώτερόν τι πραγματευόμενοι [1]) συνέρχωνται, οὐκ ἐπισκοπηθήσονται.[2]) Ὅπερ δηλοῦται ἐν τῷ Ἡσαΐᾳ, τοῦ κυρίου λέγοντος· „οὐδὲ [3]) ἐὰν [4]) ἔρχησθε ὀφθῆναί μοι·“ „ἀποστρέψω [5]) γὰρ, φησὶ, τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν.“ Τάχα γὰρ ἀντὶ τῆς προειρημένης διπλῆς συντάξεως ἀνθρώπων ἁγίων, καὶ μακαρίων ἀγγέλων, πάλιν διπλῆ γίνεται ἐπὶ τὸ αὐτὸ

---

num. 11. ὑποληπτέον, συνάγεσθαι τῶν ἐπισκοπούντων καὶ λειτουργούντων τῷ θεῷ ἀγγέλων παρουσίαν.“

[1]) Ed. Ruaei in textu: „πραγματευομένοις συνέρχωνται,“ in notis: „Lego cum Bentlejo: πραγματευόμενοι συνέρχωνται. Pro: συνέρχωνται, ed. Oxon. male habet: συνέρχονται.“ — Item fere Anglus: „Lege: πραγματευόμενοι, hoc est, si negotiantium more ad res mundanas in ecclesia transigendas conveniant, eorum instar, qui in templo emebant et vendebant. Vide Commentar. in Matth. Tom. XVI. num. 20.“

[2]) Anglus absque causa: „Nempe, ab angelis. Sic autem Origen. in Lucam Hom. XXIII. *Praesentes sunt angeli in ecclesia, in illa duntaxat, quae meretur, et Christi est.* Domus enim Dei, seu ecclesia, est domus orationis, in qua οὐδὲν ἄλλο δεῖ εἶναι, ἢ εὐχὴν πάσης ἁγίας πράξεως, καὶ προκαλουμένης τὴν τοῦ θεοῦ ἐπισκοπὴν, uti ait in Comm. in Matth. Tom. XVI. num. 22.“

[3]) Cfr. Jesai. I, 12.

[4]) Uterque Codex Mscr. „ἐὰν ἔρχησθε.“ Ed Oxon. „ἂν ἔρχησθε.“ R. — Anglus, qui non male legit: „οὐδ' ἂν ἔρχησθε,“ in notis: „Ita recte habent edd. omnes LXX. virorum versionis. In Cod. vero male hic scribitur: οὐδὲ ἐὰν ἔρχησθε.“

[5]) Cfr. Jesai. I, 15.

σύνοδος ἀνθρώπων ἀσεβῶν, καὶ πονηρῶν ἀγγέλων· καὶ λέγοιτο ἂν ἐπὶ τῆς τῶν τοιούτων συναγωγῆς ὑπό τε τῶν ἁγίων ἀγγέλων, καὶ ἱερῶν ἀνθρώπων· „οὐκ [1]) ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.“ Διὰ τοῦτο οἶμαι καὶ τοὺς ἐν Ἱερουσαλὴμ, καὶ πάσῃ τῇ Ἰουδαίᾳ ἐν πλείοσιν ἁμαρτήμασι γεγενημένους ὑποχειρίους γεγονέναι τοῖς ἐχθροῖς, τῷ καταλελεῖφθαι τοὺς καταλιπόντας τὸν νόμον λαοὺς [2]) ὑπὸ τοῦ θεοῦ, καὶ τῶν ὑπερασπιζόντων ἀγγέλων, καὶ τῆς σωτηρίας τῶν ἁγίων ἀνθρώπων. Οὕτω γὰρ καὶ ὅλα ἀθροίσματά ποτε καταλείπεται ἐμπεσεῖν εἰς πειρασμοὺς, ἵνα „καὶ [3]) ὃ δοκοῦσιν ἔχειν, ἀρθῇ ἀπ᾽ αὐτῶν·“ ὁμοίως τῇ κατηραμένῃ συκῇ [4]) καὶ ἐκ ῥιζῶν ἀρθείσῃ, [5]) διὰ τὸ μὴ δεδωκέναι τῷ Ἰησοῦ πεινῶντι καρπὸν, ξηραινόμενοι, καὶ εἴ τι εἶχον ὀλίγον ζωτικῆς κατὰ τὴν πίστιν δυνάμεως, ἀπολ-

---

[1]) Psalm. XXVI, 4. 5. (XXV.)

[2]) Edd. Oxon. et Ruaei in textu: „ναούς,“ ed. vero R. in notis: „Lego cum Bentlejo: λαούς.“ — Anglus, qui et ipse legit: „ναούς,“ in notis: „Ita scil. caecutiens scripsit librarius pro: λαούς. Sic autem versa vice λαῷ pro: ναῷ habet Cod. Holm. in Origen. Commentar. in Matth. Tom. X. num. 20.“

[3]) Cfr. Matth. XXV, 29. coll. Luc. VIII, 18.

[4]) Cfr. Matth. XXI, 19. seqq. coll. Marc. XI, 20. seqq.

[5]) Anglus non male: „Hoc non consonat narrationi Evangelicae, in qua ficus illa non radicitus sublata, sed arefacta tantum dicitur. Mihi igitur hic a librario temere scriptum videtur: ἀρθείσῃ, pro: ξηρανθείσῃ. Sic enim haud semel dicit ipse Origenes in Comm. in Matth. Tom. XVI. num. 26, atque ita eum hic dixisse liquido apparet ex sequente voce: ξηραινόμενοι. Quomodo enim ξηραινόμενοι ὁμοίως τῇ συκῇ, si non praecesserat: ξηρανθείσῃ? Nam si ponatur: ἀρθείσῃ, nihil omnino ὅμοιον videbis. Ed. vero Oxon. pro: ἀρθείσῃ, reposuit hic: ἀσθείσῃ, quasi ab ἄζομαι, *arefio*.“ — Equidem cum ed. Oxon. legerim: „ἀσθείσῃ.“

λύντες. *Ταῦτα δέ μοι ἀναγκαίως εἰρῆσθαι φαίνεται τόπον εὐχῆς ἐξετάζοντι, καὶ τὸ ἐξαίρετον ὡς ἐν τόπῳ παριστάντι ἐπὶ*[1]) *τῆς τῶν ἁγίων καὶ εὐλαβέστερον*[2]) *ἐπὶ τὸ αὐτὸ τῇ*[3]) *ἐκκλησίᾳ γινομένων συνελεύσεως.*

32. *Ἤδη δὲ καὶ περὶ τοῦ κλίματος, εἰς ὃ ἀφορῶντα εὔχεσθαι δεῖ, ὀλίγα λεκτέον. Τεσσάρων δὲ ὄντων κλιμάτων, τοῦ*[4]) *τε πρὸς ἄρκτον, καὶ μεσημβρίαν, καὶ τοῦ πρὸς δύσιν, καὶ ἀνατολὴν, τίς οὐκ ἂν αὐτόθεν ὁμολογήσαι τὰ*[5]) *πρὸς ἀνατολὴν ἐναργῶς*[6])

---

[1]) Anglus: „Dele: *ἐπί*, et lege: *τὸ ἐξαίρετον ὡς ἐν τόπῳ παριστάντι τῆς τῶν*" *κτλ.* — Non male.

[2]) Sic uterque Cod. Mscr. Editio autem Oxon. in textu habet: „*εὐλαβεστέρων.*" R.

[3]) Anglus non male: „Lege: *ἐν τῇ ἐκκλησίᾳ.* Sic in loco consimili supra: *Οὐ καταφρονητέον τῶν ἐν αὐταῖς (ἐκκλησίαις) εὐχῶν, ὡς ἐξαίρετόν τι ἐχουσῶν τῷ γνησίως συνερχομένῳ.* Et in Matth. Tom. XVI. num. 21. — *ἐπισκοποῦνται οἱ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ γινόμενοι ἐπὶ τὸ αὐτὸ ἐν συναγωγαῖς.*"

[4]) Anglus: „Lege: *τῶν τε πρὸς ἄρκτον, καὶ μεσημβρίαν, καὶ τῶν πρὸς δύσιν, καὶ ἀνατολήν*, ut quatuor illa climata recenseat, bina scil. ad septentrionem et meridiem, bina ad orientem et occidentem"

[5]) Edd. Oxon. et Ruaei: „*τὰ πρὸς ἀνατολήν.*" Anglus, qui legit: „*τὸ πρὸς ἀνατολήν,*" in notis: „Ita Origenes Homil. V. in Numeros: *Ex omnibus*, inquit, *coeli plagis, ad solis orientis partem conversi orationem fundimus.* Confer Clem. Alex. Strom. VII. p. 856. (ex ed. Potteri), Tertull. Apologet. cap. 16, Pseudo-Justin. Quaest. et Respons. ad Orthodoxos, Respon. 118., Constitutt. Apostolic. II, 57. cum notis Cotelerii, Sidon. Apollin. Epist. 2. 10. cum notis Savar., et auctores a Fabricio laudatos in Bibliogr. Antiquar. 361." — Cfr. pag. 291. not. 1.

[6]) Uterque Cod. Mscr. „*ἐναργῶς.*" Ed. Oxon. „*ἐνεργῶς.*" R.

ἐμφαίνειν τὸ δεῖν[1]) ἐκεῖ νεύοντας συμβολικῶς, ὡς τῆς ψυχῆς ἐνορώσης τῇ τοῦ ἀληθινοῦ[2]) φωτὸς ἀνατολῇ, ποιεῖσθαι τὰς εὐχάς; Ἐὰν δέ τις ὁπουδήποτε τῶν θυρῶν τοῦ οἴκου νευουσῶν βούληται[3]) μᾶλλον κατὰ τὸ ἀνεωγὸς τῆς οἰκίας προσφέρειν τὰς ἐντεύξεις, λέγων τὴν εἰς τὸν οὐρανὸν ὄψιν ἔχειν τι μᾶλλον προκαλούμενον[4]) ἐφ' ἑαυτὴν τῆς ἐπὶ τὸν τοῖχον ἐπιβλέψεως, εἰ τύχοιεν μὴ διανεωγότα τοῦ οἴκου τὰ πρὸς ἀνατολάς, λεκτέον πρὸς αὐτὸν, ὅτι θέσει[5]) τῶν οἰκοδομημάτων ἀνθρώπων κατὰ τάδε τὰ κλίματα, ἢ τάδε διανοιγομέ-

---

[1]) Anglus: „Cod. Mscr. male: δυεῖν."

[2]) Anglus: „Id est, Christi, — cfr. ev. Joann. I, 9. —, qui et ἀνατολή dicitur Zach. VI, 12. et Luc. I, 78.

[3]) Uterque Cod. Mscr. „βούληται." Ed. Oxon. „βούλεται." R.

[4]) Ed. Ruaei in textu: „προσκαλούμενον ἐφ' ἑαυτήν," in notis: „Iidem Mss. προσκαλούμενον ἐφ' ἑαυτήν. Ed. Oxon. male: προσκαλούμενον ἐφ' ἑαυτῷ. Bentlejus legit: προκαλούμενον ἐφ ἑαυτήν." — Anglus: „Lege: προκαλούμενον, id est, *quod provocat, invitat, allicit.* Ita enim hoc verbo in hoc libello, ut et alias, passim utitur Origenes; e. c. num. 6. ἐπὶ τάδε τινὰ ἁμαρτήματα αὐτὸν — προκαλέσεται. Et num. 7. — φαντασίαι προκαλοῦνται τὸ ἀβέβαιον ἡμῶν. Ac num. 14. λόγος προκαλούμενος ἐπὶ τὸ μιμεῖσθαι. Atque num. 25. ἐπὶ τὰ ἔργα τῆς σαρκὸς — προκαλουμένης ἡμῶν τὴν ψυχήν. Saepe vero fit, ut apud auctores, librariorum errore, horum alterum pro altero legatur. Quod et de aliis ex πρό et πρός compositis ostendit Montefalcon. in Palaeogr. Graec. p. 343. Sic autem, ut alia mittam, libelli hujusce num. 6. προσδιαληπτέον, pro: προδιαληπτέον, et num. 27. προκείμενον, pro: προσκείμενον scriptum notavimus."

[5]) Anglus rectius: „Lege: θέσει μὲν ἀνθρώπων τῶν οἰκοδομημάτων" κτλ.

νων, φύσει[1]) *δὲ τῆς ἀνατολῆς τῶν λοιπῶν προκεκριμένης κλιμάτων, τὸ φύσει τοῦ θέσει προτακτέον. Ἀλλὰ καὶ ὁ ἐν πεδίῳ εὔξασθαι βουλόμενος, τί μᾶλλον κατὰ τοῦτον τὸν*[2]) *λόγον ἐπ' ἀνατολὰς, ἢ ἐπὶ δύσιν προς-*

---

[1]) De precibus versus Orientem habendis Clemens Alexandrin. Strom. VII. pag. 856. (ex ed. Potteri) ait: *Ἐπεὶ δὲ γενεθλίου ἡμέρας εἰκὼν ἡ ἀνατολὴ, κἀκεῖθεν τὸ φῶς αὔξεται ἐκ σκότους λάμψαν τὸ πρῶτον· ἀλλὰ καὶ τοῖς ἐν ἀγνοίᾳ καλινδουμένοις ἀνέτειλε γνώσεως ἀληθείας ἡμέρα κατὰ λόγον τοῦ ἡλίου· πρὸς τὴν ἑωθινὴν ἀνατολὴν αἱ εὐχαί.* Item auctor Quaest. et Respons. ad Orthodox. Resp. 118., postquam usum precandi versus Orientem retulit, infert: *Τὸ δὲ ἔθος, παρ' ὧν εἴληφεν ἡ ἐκκλησία τὸ εὔχεσθαι, παρὰ τούτων εἰληφέναι καὶ τὸ ποῖ εὔχεσθαι. Τοῦτο δὲ παρὰ τῶν ἁγίων ἀποστόλων.* Vide Constitutt. Apostol. lib. II. cap. 57., Basilium de Spiritu sancto cap. 27., Chrysostomum ad Daniel. VI, 10., Pseudo-Origenem ad Jobi lib. III., ementitum similiter Athanasium quaest. 37. earum, quae ad Antiochum inscribuntur, Germanum Constantinopolitanum in Theoria mystica post initium, Joannem Damascenum orthodoxae fidei lib. IV. cap. 13, Gregentium, disputationis cum Judaeo fol. 61., et auctorem libri de divinis officiis apud Alcuinum cap. 39. Observari praeterea velim Therapeutas, de quibus Philo in libro de vita contemplativa, hanc precandi versus Orientem consuetudinem habuisse: *τάς τε ὄψεις καὶ ὅλον τὸ σῶμα πρὸς τὴν ἕω στάντες, ἐπὰν θεάσωνται τὸν ἥλιον ἀνίσχοντα, τὰς χεῖρας ἀνατείναντες εἰς οὐρανὸν, εὐημερίαν καὶ ἀλήθειαν ἐπεύχονται, καὶ ὀξυωπίαν λογισμοῦ.* R. — Cfr. pag. 289. not. 5.

[2]) Desunt verba: „*τὸν λόγον ἐπ' ἀνατολάς*," in ed. Oxoniensi, sed reperiuntur in Cod. Mscr. Cantabrigiensi. R. — Anglus: „Legendum hic suspicor: *τί μᾶλλον κατὰ τὸ εὔλογον ἐπ' ἀνατολὰς*, sicut mox sequitur; ibi enim prius dicta repetere videtur. Editor vero Oxoniensis

εὔξεται; Εἰ δὲ ἐκεῖ προκριτέον τὰς ἀνατολὰς κατὰ τὸ εὔλογον, διὰ τί τοῦτο οὐ πανταχοῦ ποιητέον; Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

33. *Δοκεῖ δέ μοι ἔτι περὶ τῶν τόπων τῆς εὐχῆς διαλαβόντα, οὕτω καταπαῦσαι τὸν λόγον. Τέσσαρες δή*[1]) *μοι τόποι ὑπογραπτέοι φαίνονται, οὓς εὗρον διεσκεδασμένους ἐν ταῖς γραφαῖς, καὶ σωματοποιητέον ἑκάστῳ κατὰ τούτους εὐχήν. Εἰσὶ*[2]) *δὲ οἱ τόποι οὗτοι·*

---

hunc locum, contra Codicis fidem, sic nobis mutilatum exhibuit: *τί μᾶλλον κατὰ τοῦτον, ἢ ἐπὶ δύσιν.*"

[1]) Ed. Oxoniensis: „*δέ*."

[2]) Editor Oxoniensis in notis vers. latin. adjunctis: „His quatuor capitibus, quae loca rhetorum more appellat Origenes, partes maxime conspicuae officiorum sacrorum ecclesiae veteris contineri videntur. Haec pro more suo Scripturarum testimoniis illustrat, et privatas etiam preces ad ea exigendas suadet Adamantius. Si quis vero vetustissimas ecclesiae tam Orientalis quam Occidentalis missas, sive liturgias evolverit, in subsidium sumtis earum enarratoribus, Dionysio Areopagita, auctore Constitutt. Apostolic., et Cyrillo Catechista, deprehendet in primo Missae introitu Trisagium, hymnum Cherubicum, aut Angelicum, — quae certe ad doxologiam sunt referenda —, sibi occursura. In canonis item exordio conspicietur nobilis acclamatio eucharistica: *ἀνάσχωμεν τὰς καρδίας. Ἄξιον καὶ δίκαιόν σε ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σὲ εὐχαριστεῖν, σὲ προσκυνεῖν. Sursum corda, habemus ad Dominum. Dignum et justum est*, etc. Quam formulam in ecclesia meridionali, sive Africana, pariter obtinuisse, auctor est omni exceptione major Cyprianus. Exomologesin repraesentabunt verba illa, quae sequuntur, maxime solemnia: *Κύριε, οὐκ εἰμὶ ἄξιος·* et: *οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις·* et: *ὁ θεὸς ἡμῶν, ἄνες, ἄφες, συγχώρησον. Non sumus digni*, etc. Accedunt *αἰτήσεις*, sive litaniae pro omnium fidelium variis necessitatibus, in quibus subinde

κατὰ δύναμιν δοξολογίας ἐν τῇ ἀρχῇ καὶ τῷ προοιμίῳ τῆς εὐχῆς λεκτέον τοῦ θεοῦ διὰ Χριστοῦ συνδοξολογουμένου ἐν τῷ ἁγίῳ πνεύματι συνυμνουμένῳ.¹) Καὶ μετὰ τοῦτο τακτέον ἑκάστῳ εὐχαριστίας²) τε κοινὰς ὑπὲρ τῶν εἰς πάντας εὐεργεσιῶν, καὶ ὧν ἰδίᾳ τέτευχεν³) ἀπὸ θεοῦ. Μετὰ δὲ τὴν εὐχαριστίαν φαίνεταί μοι πικρόν τινα δεῖν γινόμενον τῶν ἰδίων ἁμαρτημάτων κατήγορον ἐπὶ θεοῦ, αἰτεῖν πρῶτον μὲν ἴασιν πρὸς τὸ ἀπαλλαγῆναι τῆς τὸ ἁμαρτάνειν ἐπιφερούσης ἕξεως, δεύτερον⁴) ἄφεσιν τῶν παρεληλυθότων. Μετὰ δὲ τὴν ἐξομολόγησιν τέταρτόν μοι συνάπτειν φαίνεται δεῖν, τὴν περὶ τῶν μεγάλων, καὶ ἐπουρανίων αἴτησιν, ἰδίων τε καὶ καθολικῶν, καὶ περί τε οἰκείων, καὶ φιλτάτων.

---

repetitur: Κύριε, ἐλέησον· aut: τοῦ κυρίου δεηθῶμεν. *Domine, miserere nostri*, et: *exaudi nos, Domine.* Quorum omnium clausula repetita doxologia: σοὶ πρέπει καὶ ἐποφείλεται ἡ παρὰ πάντων ἡμῶν δοξολογία· τιμὴ καὶ προσκύνησις καὶ εὐχαριστία τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί. Σὺ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν! **Gloria in excelsis Deo**, etc., et: **Gratias tibi agimus, Pater**, etc. Haec sive casu juxta contigerint, vel ab ecclesiae primordiis pari ubique consensu fuerint recepta, judicet lector."

¹) Cod. uterque: „συνυμνουμένῳ." Ed. Oxon. „συνυμνουμένου." R. — Anglus non male: „Lege: καὶ ἐν τῷ ἁγίῳ πνεύματι συνυμνουμένου."

²) Cod. Colbertinus: „εὐχαριστίας τε κοινὰς ὑπὲρ τῶν εἰς πάντας εὐεργεσιῶν, καὶ ὧν ἰδίᾳ τέτευχεν" κτλ. Cod. autem Cantabrigiensis (itemq. ed. Oxoniensis): „εὐχαριστίας τε κοινὰς πρὸς πολλοὺς εὐεργεσίας προσάγοντας ἐπὶ τῆς εὐχαριστίας, καὶ ὧν ἰδίᾳ τέτευχεν" κτλ. R. ³) Ed. Oxon. „τέτυχεν."

⁴) Anglus non male: „δεύτερον δὲ ἄφεσιν."

Καὶ ἐπὶ πᾶσι, τὴν εὐχὴν εἰς δοξολογίαν θεοῦ διὰ Χριστοῦ ἐν ἁγίῳ πνεύματι καταπαυστέον. Τούτους δὲ τοὺς τόπους, ὡς προείπομεν, διεσπαρμένους εὕρομεν ἐν ταῖς γραφαῖς· τὸν μὲν τῆς δοξολογίας διὰ τούτων ἐν ἑκατοστῷ τρίτῳ ψαλμῷ· „κύριε,[1]) ὁ θεός μου, ὡς[2]) ἐμεγαλύνθης σφόδρα· ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέριν·[3]) ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ· ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ· ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ· ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσι.“ Καὶ τὰ πλεῖστα δὲ τούτου τοῦ ψαλμοῦ δοξολογίαν περιέχει τοῦ πατρός. Ἔνεστι δέ τινα ἑαυτῷ πλείονα ἀναλεγόμενον ὁρᾷν, ὡς[4]) ὁ τόπος τῆς δοξολογίας πολλαχοῦ διέσπαρται. Τῆς δὲ εὐχαριστίας ἐκκείσθω τοῦτο παράδειγμα ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν κείμενον, μετὰ τὰς διὰ[5]) τοῦ Νάθαν πρὸς τὸν Δαυὶδ ἐπαγγελίας ὑπὸ τοῦ Δαυὶδ ἐπαγγελλόμενον, ἐκπλαγέντος τὰς τοῦ θεοῦ

---

[1]) Cfr. Psalm. CIV, 1—7. (CIII.)

[2]) Anglus: „Ita legit et Theodoretus, notatque particulam *ὡς* sententiae vim addere: *ἐπιτάσεως ἐνταῦθα τὸ ὡς.* At in edd. omnibus LXX. viror. version. deest *ὡς*, quibuscum consentit Euseb. Comment. in Psalm., atque ipsa etiam veritas Hebr. Desumtum vero mihi videtur illud *ὡς* e consimili loco: *ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε*, in ejusd. Psalmi vers. 24.“

[3]) Cod. Mscr. Cantabrigiensis: „*δέριν.*“ Ed. Oxon. „*δέῤῥιν.*“ R.

[4]) Cod. Mscr. Cantabrig. „*ὡς ὁ τόπος.*“ Ed. Oxon. „*ὥστε ὁ τόπος.*“ R.

[5]) Anglus: „Ita esse legendum res ipsa clamat: pro his vero semisomnis librarius scripsit: *διὰ τοῦ θανάτου.*“

δωρεάς, καὶ εὐχαριστοῦντος ἐπ' αὐταῖς[1]) διὰ τούτων· „τίς[2]) εἰμι ἐγώ, κύριέ μου κύριε, καὶ τίς ὁ οἶκός μου, ὅτι ἠγάπησάς με ἕως τούτων; Καὶ κατεσμικρύνθην[3]) μικρὸν ἐνώπιόν σου, κύριέ μου, καὶ ἐλάλησας[4]) ὑπὲρ τοῦ οἴκου τοῦ δούλου σου εἰς μακράν. Οὗτος δὲ ὁ νόμος τοῦ ἀνθρώπου, κύριέ μου κύριε. Καὶ τί προσθήσει Δαυὶδ ἔτι τοῦ λαλῆσαι πρὸς σέ; Καὶ νῦν σὺ οἶδας τὸν δοῦλόν σου, κύριε· διὰ τὸν δοῦλόν σου πεποίηκας, καὶ κατὰ τὴν καρδίαν σου ἐποίησας[5]) πᾶσαν τὴν μεγαλωσύνην σου ταύτην γνωρίσαι τῷ δούλῳ σου, ἕνεκα τοῦ μεγαλῦναι σε, κύριέ μου κύριε.“ Τῶν δὲ ἐξομολογήσεων παράδειγμα· „ἀπὸ[6]) πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με.“ Καὶ ἐν ἄλλοις· „προσώζεσαν[7]) καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου· ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.“ Τῶν δὲ αἰτήσεων ἐν εἰκοστῷ ἑβδόμῳ ψαλμῷ· „μὴ[8]) συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με·“ καὶ εἴ τι τούτοις ὅμοιον. Εὔλογον δὲ ἀρξάμενον ἀπὸ δοξολογίας εἰς δοξολογίαν καταλήγοντα καταπαύειν τὴν εὐχήν, ὑμνοῦντα καὶ δοξάζοντα τὸν τῶν ὅλων πατέρα διὰ Ἰησοῦ Χριστοῦ ἐν ἁγίῳ πνεύματι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Ταῦτα κατὰ δύναμιν ἐμὴν εἰς τὸ τῆς εὐχῆς πρόβλημα, καὶ εἰς τὴν ἐν τοῖς εὐαγγελίοις εὐχήν, τά τε

---

[1]) Cod. Mscr. Cantabrig. „αὐταῖς.“ Ed. Oxon. „αὐτοῖς.“ R.

[2]) Cfr. II Sam. VII, 18—22. (II Regg.)

[3]) Anglus: „Cod. Mscr. κατεσμικρύνθην.“

[4]) Anglus: „Cod. Mscr. ἐλάλησα.“

[5]) Anglus: „Cod. Mscr. ἐποίησα.“

[6]) Psalm. XXXIX, 8. (XXXVIII.)

[7]) Cfr. Psalm. XXXVIII, 5. 6. (XXXVII.)

[8]) Cfr. Psalm. XXVIII, 3. (XXVII.)

πρὸ αὐτῆς παρὰ τῷ Ματθαίῳ εἰρημένα, ἡμῖν[1]) διήθληται, φιλομαθέστατοι καὶ γνησιώτατοι ἐν θεοσεβείᾳ ἀδελφοὶ,[2]) Ἀμβρόσιε καὶ Τατιανή. Οὐκ ἀπογινώσκω δὲ τοῖς[3]) ἔμπροσθεν ὑμῶν ἐπεκτεινομένων, καὶ τῶν ὄπισθεν ἐπιλανθανομένων, εὐχομένων τε ἐν τούτοις ὄντων περὶ ἡμῶν,[4]) πλείονα καὶ θειότερα εἰς πάντα ταῦτα δυνηθῆναι χωρῆσαι ἀπὸ τοῦ διδόντος θεοῦ, καὶ λαβὼν[5]) πάλιν περὶ τῶν αὐτῶν διαλαβεῖν μεγαλοφυέ-

---

[1]) Cod. Mscr. Cantabrigiensis: „ἡμῖν διήθληται." Ed. Oxoniensis: „ὑμῖν διαθληταί." R. — Anglus: „Lege: ὑμῖν διήθληται, id est; *vobis*, seu: *vestra gratia elaborata sunt*. Ed. vero Oxon. male hic habet: διαθληταί, nomen scil., quod nusquam exstat, pro verbo."

[2]) Anglus: „Male hinc colligit editor Oxon. in praefatione, Tatianam hanc Ambrosii *sororem* fuisse *germanam;* cum ipsa verba non sanguinis, sed pietatis tantum ἀδελφότητα plane indicent. Quo quidem in sensu Origenis quoque soror erat Tatiana, et Ambrosius frater, sicut eam saepe appellat. Nimirum Christiani omnes, cujuscunque vel stirpis sint, vel gentis, fratres sunt in Jesu Christo, dicente ipso, Matth. XXIII, 8. πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. Hoc autem in sensu Eustochium Hieronymus dominam suam, et filiam, et germanam appellat: *dominam quippe*, inquit, *vocare debeo sponsam Domini mei. — Itaque, mi Eustochium, filia, domina, conserva, germana; aliud enim aetatis, aliud meriti, aliud religionis, hoc caritatis est nomen.* Ceterum quaenam fuerit haec Tatiana, omnino est incertum."

[3]) Cfr. Philipp. III, 14.

[4]) Anglus: „Cod. Mscr. male: ὑμῶν. Haec autem saepe permutata invicem in superioribus notavimus."

[5]) Codd. Mss. „λαβών." Ed. Oxon. „λαβόντα." R. — Anglus: „Scil. αὐτός, quod ante δυνηθῆναι subintelligitur. Hic enim est verborum ordo: οὐκ ἀπογινώσκω — αὐτὸς δυνηθῆναι — λαβὼν πάλιν κτλ. Nimirum Nominativus Atticorum more positus pro Accusativo:

στερον, καὶ ὑψηλότερον, καὶ τρανότερον. Πλὴν ἐπὶ τοῦ παρόντος μετὰ συγγνώμης τούτοις ἐντεύξεσθε.

ἐμαυτὸν λαβόντα κτλ. Sic autem Origenes supra sect. 17. ἐρεῖ μὴ αὐτὸς θέλειν, καὶ μὴ αὐτὸς ἐσθίειν, καὶ μὴ αὐτὸς περιπατεῖν, κτλ. Ita et Apostolus II. Cor. X, 2. δέομαι δὲ, τὸ μὴ παρὼν θαῤῥῆσαι. Atque ipse Demosthenes de Corona: οὐ σεμνύνομαι τῷ γραφεὶς ἀποφυγεῖν, — παραλείπω τὸ πολλάκις αὐτὸς ἐστεφανῶσθαι πρότερον. Editor vero Oxon. non ferens hoc λαβών, loco ejus posuit: λαβόντα. Recte, fateor, nisi quod ille, vel a malefido Apographi scriptore deceptus, vel aliunde inductus, cum hoc, tum alia multa, tanquam ipsa Codicis verba, lectori proposuerit. Quod quidem ei in quam plurimis parum feliciter cessit; adeo ut centies minimum pro Codicis rectis, a recto aliena substituerit, idque cum summo saepe sententiae dispendio, quemadmodum in eorum nonnullis pro re nata demonstravimus. Ab his igitur nos moniti Codicis omnia tibi, quam potuimus accuratissime, repraesentavimus, atque ejus tantum vitia notasse satis habuimus; praeterquam quod pauca quaedam ob justas, uti visum est, causas ad imum paginae rejecimus, ubi tuis utcunque oculis subjecta remanent. Pulchre vero locatam existimabimus nostram hic operam, si vel in vitiorum paucis tantum emendandis tam felices tibi videbimur, quam in iis omnibus exhibendis fuimus fideles."

ΑΝΩΝΥΜΟΥ[1]) ΣΧΟΛΙΑ
ΕΙΣ
ΕΥΧΗΝ ΚΥΡΙΑΚΗΝ.

„Πάτερ[2]) ἡμῶν." Τότε πατὴρ ἡμῶν ὁ θεὸς χρηματίζει, ὅτε διὰ τῆς τοῦ πνεύματος ἐπιφοιτήσεως τῆς

---

[1]) Haec Scholia, e Cod. Italico descripta, primus edidit Morell. anno 1601.; quibus ut pretium arrogaret, pro Origenis, vel alterius doctoris συγχρόνου foetu habenda censuit. At illi parum credulus Huetius in Origenianis inferioris longe aevi parenti ea adjudicat, Petro scil. Laodicensi, septimi, ut fertur, seculi scriptori; sub cujus nomine in Biblioth. Patrum latine exstant. Editor autem Oxoniensis in Morelli, ut videtur, sententiam propensior, ea sub hoc titulo: Παράφρασις εὐχῆς τῆς κυριακῆς, tanquam ab Origene profecta, huic περὶ εὐχῆς libello subjuncta voluit. Quod quidem ejus consilium comprobans Cav. Hist. Litterar. pag. 84. dicit, haec Scholia ipsius Origenis sibi videri; atque ea libelli de Oratione ἀποσπασμάτιον quoddam esse, libere pronuntiat. Ego vero hoc doctissimi viri judicium satis mirari nequeo, cum stylo Origeniano nil simile habeant haec scholia, neque Libelli loca appareant, unde decerpi poterant, neque etiam Orationis dominicae verba eodem, quo Origenes, modo explicent. Atque hoc quidem postea, quod nos pene fugerat, ipse Caveus, a Galeo, ut opinor, admonitus, confitetur in Hist. Litterar. Part. II. pag. 50., ubi mutata sententia dicit, haec Scholia *ipsius Origenis non esse videri, partim ob styli discrepantiam, partim quod in iis quaedam aliter explicantur, quam in tractatu suo genuino exponit Origenes.* Cujuscunque

υἱοθεσίας ἀξιωθῶμεν. Ὁ γὰρ πατέρα καλῶν τὸν θεὸν, ὀφείλει καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν, καὶ κληρονόμος τῆς βασιλείας τῶν οὐρανῶν· θρασὺς δὲ ὁ μορφωθεὶς πρὸς τὸν διάβολον, λέγων πατέρα τὸν θεὸν, ὃν οὐ δοξάζει.

Εἰπὼν δὲ τό· „ἡμῶν·" [1]) *ἕνα τοὺς πολλοὺς δείκνυσιν, ὡς ἑνὸς σώματος, μιᾶς ἁπάντων οὔσης κεφαλῆς τοῦ θεοῦ. Ὑπεμφαίνει δὲ καὶ τὸ ὑπὲρ ἀλλήλων εὔχεσθαι, ὡς ὅτι πάντες ἀδελφοί ἐσμεν.*

Τὸ [2]) *δέ· „ἐν* [3]) *τοῖς οὐρανοῖς·" ὅταν εἴπῃ, οὐκ ἐκεῖ τὸν θεὸν συγκλείων τοῦτό φησιν, ἀλλὰ τῆς γῆς ἀπάγων τὸν εὐχόμενον, καὶ τοῖς ὑψηλοῖς προσηλῶν.*

Τὸ δέ· „ἁγιασθήτω·" [4]) *οὐ προστακτικὸν, εὐκτικὸν* [5]) *δὲ, οἷον· ἁγιασθείη· οὐχ ἵνα ἐκ βεβήλου ἁγια-*

---

vero sint, — nam haud ita magni refert —, nos non prohibemus, quominus eundem hic locum obtineant, quem in ed. Oxon. occupabant, atque propter argumenti saltem similitudinem sub Origenis umbra delitescant. Eorum autem versionem nec tibi omnino nullam damus, sicut ed. Oxon., nec Morelli illam Westeniive apponimus; sed veteris interpretis latina (e Biblioth. Patrum Tom. XII. ed. Lugd.) cum Graecis hisce Morellianis collata exhibemus. R. — Cfr. Orig. Opp. ed. Ruaei Tom. I. pag. 909. seqq.

[2]) Matth. VI, 9. coll. Luc. XI, 2.

[1]) Matth. VI, 9.

[2]) Hanc *προσοχήν* non invenit vetus interpres in suo Codice; atque in Morelliano quidem est additamentum e Chrysostomi Homil. XIX. in Matthaeum excerptum, ubi haec ipsa exstant verba: *Τὸ δέ· ἐν τοῖς οὐρανοῖς· ὅταν εἴπῃ, οὐκ ἐκεῖ τὸν θεὸν συγκλείων τοῦτό φησιν, ἀλλὰ τῆς γῆς ἀπάγων τὸν εὐχόμενον, καὶ τοῖς ὑψηλοῖς προσηλῶν χωρίοις, καὶ ταῖς ἄνω διατριβαῖς.* Vides igitur eorum *ἀστοχίαν*, qui haec Origenis esse censuerunt. R.

[3]) Matth. VI, 9.

[4]) Matth. VI, 9. coll. Luc. XI, 2.

[5]) Ex Codice suo *εὐκτικῶς* hic edidit Morellus; quem secuti sunt editores Oxoniensis et Basileensis. At vera certe lectio est: *εὐκτικόν*, sicut habuit Codex, quo

σθείη, ἀλλ' ἵνα ἡμῖν ἀποκαλυφθείσης τῆς ἁγιότητος αὐτοῦ, ἀξίως αὐτῷ διδῶμεν ἁγιότητα, ὀνομάζοντες θεόν· ἢ [1]) τὴν μελλησάντων ἀγαθῶν ἀπόλαυσίν φησιν, ἢ τὴν διὰ τοῦ ἁγίου πνεύματος δωρεὰν, ἢ τὴν δευτέραν αὐτοῦ παρουσίαν.

„Ἐλθέτω [2]) ἡ βασιλεία σου.“ Ἐπειδὴ δὲ φύσει θεὸς [3]) ἄνθρωπος Χριστὸς οἰκονομικῶς καλεῖται βασι-

---

usus est vetus interpres, qui latine vertit: *optativum.* Vult autem Scholiographus, illud: ἁγιασθήτω, licet forma sit *Imperativum*, sensu tamen esse *Optativum*, quasi esset: ἁγιασθείη. Atque huic quidem simile habet ipse Origenes in genuino opere περὶ εὐχῆς. Ἔτι περὶ τοῦ· ἁγιαθήτω τὸ ὄνομά σου, καὶ τῶν ἑξῆς, προστακτικῷ χαρακτῆρι εἰρημένων, λεκτέον, ὅτι συνεχῶς προστακτικοῖς ἀντὶ εὐκτικῶν ἐχρήσαντο καὶ οἱ ἑρμηνεύσαντες· ὡς ἐν τοῖς ψαλμοῖς· ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν·“ ἀντὶ τοῦ· γενηθείεν. R. — Cfr. Orig. lib. de Oratione num. 24. coll. Psalm. XXXI, 18. (XXX.)

[1]) Oscitans hic librarius loco non suo posuit hanc περικοπήν, quae non omnino ad hanc, sed ad sequentem plane Petitionem pertinet. Totum igitur locum sic constituendum esse arbitror: οὐχ ἵνα ἐκ βεβήλου ἁγιασθείη, ἀλλ' ἵνα ἡμῖν ἀποκαλυφθείσης τῆς ἁγιότητος αὐτοῦ, ἀξίως αὐτῷ διδῶμεν ἁγιότητα, ὀνομάζοντες θεόν.

„Ἐλθέτω ἡ βασιλεία σου.“ Ἢ τὴν μελλησάντων ἀγαθῶν ἀπόλαυσίν φησιν, ἢ τὴν διὰ τοῦ ἁγίου πνεύματος δωρεὰν, ἢ τὴν δευτέραν αὐτοῦ παρουσίαν. Ἐπειδὴ δὲ φύσει θεός κτλ. Nostram vero hanc emendationem extra dubium ponit Vetus Interpres, qui haec omnia in suo Codice eodem ordine lecta latine reddidit. R — Equidem a partibus Ruaei steterim.

[2]) Matth. VI, 10. coll. Luc. XI, 2. et pag. huj. not. 1.

[3]) Sententiam turbat illud: ἄνθρωπος, et rectius

λεὺς, ὡς ἄνθρωπος, ἐπεύχονται οἱ πιστοὶ τοῦτο καὶ ἐπὶ τοὺς ἀπίστους ἐλθεῖν, ἵνα εἰς Χριστὸν πιστεύσαντες, βασιλέα ἴδιον ἐπιγράψωνται [1]) αὐτόν.

Τὸ δέ· „γενηθήτω [2]) τὸ θέλημά σου·“ δηλοῖ· ὥσπερ ἐν οὐρανῷ καθαρῶς καὶ ἀμέμπτως πάντες οἱ ἄγγελοι πολιτεύονται, οὕτω καὶ τοὺς ἀνθρώπους ἐν τῇ γῇ ποίησον· ἢ οὕτως· ὥσπερ οἱ ἄγγελοι ἐν οὐρανοῖς εἰσιν, οὕτω καὶ ἡμᾶς ἀξίωσον ἐν τῇ ἀναστάσει τοῦ πνευματικοῦ καὶ καθαροῦ σώματος. [3])

„Ἄρτον [4]) δὲ ἐπιούσιον,“ ἢ τὸν [5]) συνιστῶντα τὸ σῶμα ἡμῶν φησι, τουτέστι, τὸν ἐφήμερον, ἢ τὸν [6]) ἐπιόντα, καὶ προσδοκώμενον τοῦ πνεύματος ζωοποιὸν ἄρτον, τουτέστι, τὸν μέλλοντα. Ὀνοματοπεποίηται

---

omitti potest; ut sit: φύσει θεὸς Χριστός, sicut in suo Codice legit Vetus Interpres: *Christus natura Deus.* R.

[1]) Ed. Oxoniensis: „ἐπιγράψονται.“

[2]) Matth. VI, 10.

[3]) Pergit hic Interpres his verbis: *Vel: quemadmodum ecclesia in coelis, pacifica et tranquilla est, ita fiat et in terris.* Utrum vero e Graecis in Cod. suo exstantibus haec transtulerit, an de proprio addiderit, non satis apparet. Quapropter nos ea hic omittenda censuimus. R.

[4]) Cfr. Matth. VI, 11. coll. Luc. XI, 3.

[5]) Ita fere explicat Chrysostomus, aliique, quos citat Suicer. in voc. ἐπιούσιος num. 1. Hanc autem explicationem adeo non probat Origenes, ut in Libello genuino eam, tanquam nonnullorum ψευδοδοξίαν, rejiciat, atque in eo totus sit, ut ostendat panem hunc ἐπιούσιον non esse σωματικόν, sed omnino νοητόν, et τὸν τρέφοντα τὴν ψυχήν. Ne credas igitur hoc Scholion Libelli hujus esse ἀποσπασμάτιον. R.

[6]) Hanc quidem τοῦ· ἐπιούσιον, explicationem verbis consimilibus profert Origenes, quam tamen ipse improbat, atque istius vocis etymon ab οὐσίᾳ petendum esse contendit. Verba autem intermedia: καὶ προσδοκώμενον τοῦ πνεύματος ζωοποιὸν ἄρτον, in suo Codice non invenit Vetus Interpres, atque hic, nisi fallor, rectius abesse possunt. R.

τοίνυν „ἐπιούσιον,“ [1]) *ἢ παρὰ τὸ ἐπιέναι καὶ ὑπερέρχεσθαι, ἵνα ᾖ· τὸν μὴ τοῦ ἐνεστῶτος αἰῶνος οἰκεῖον, ἀλλὰ τὸν ἀποδοθησόμενον ἐν τῷ μέλλοντι τοῖς ἁγίοις, δὸς ἡμῖν ἤδη· ἢ, ἐπείπερ οὐσία κυρίως ἐστὶν ἡ ἐνεστῶσα καὶ βέβαιος, οἵα ἡ τῆς ψυχῆς ἡμῶν φύσις, φοροῦσα τὸ κατ᾽ εἰκόνα τοῦ ἀοράτου Θεοῦ, κατὰ τοῦτο λέγοιτ᾽ ἂν ὁ τῇ κυρίως οὐσίᾳ ὁμιλῶν, ἄρτος ἐπιούσιος, Θεὸς ὢν λόγος, ζῶν ἄρτος. Εἶτα δυσωπῶν ὁ λόγος ἀμνησικακεῖν, συνειδότας ἑαυτοῖς ἁμαρτίας, μετριάζειν διδάσκει, τὸ* [2]) *τῶν ἴσων θέλειν τυχεῖν. Φησὶ γάρ·*

„Καὶ [3]) *ἄφες ἡμῖν τὰ ὀφειλήματα.“ Πᾶν δὲ ἁμάρτημα ὀφείλημά ἐστιν. Εἰ γὰρ μὴ ἐνδύσηταί τις τῆς ἀμνησικακίας ἀρετὴν, οὐ δύναται τυχεῖν ἀφέσεως. Εἶτα* [4]) *διδάσκει μὴ παραιτεῖσθαι τοὺς ἀγῶνας, πλὴν μὴ ἐπιῤῥίπτειν ἑαυτούς.*

---

[1]) Lege: *τὸ ἐπιούσιον*. Vetus vero Interpres pro: *ἐπιούσιον*, in suo Codice perperam scriptum invenit: *ὁμοούσιον*. Unde ille in errorem inductus sic transtulit: *derivatur τὸ ὁμοούσιον, sive id, cujus eadem cum aliquo essentiae ratio est, vel παρὰ τὸ ἐπιέναι κτλ.*, quasi vero *ὁμοούσιον* ad hunc locum omnino pertineret, aut ab *ἐπιέναι* derivari posset. Non est autem quod miremur, decipi potuisse hunc interpretem; mirandum potius est, hoc ejus sphalma, post Graeca a Morello edita, nec in Biblioth. Patrum ed. Coloniensi, nec in Parisiensi Morelliana, neque etiam, — postquam monuerat Huetius, Petri Laodic. Latina ex his Graecis esse facta —, in novissima illa Lugdunensi notatum correctumque fuisse: cum in promtu jam posita esset ea, quam nos nunc damus, emendatio, scilicet: *derivatur τὸ ἐπιούσιον, vel παρὰ τὸ ἐπιέναι, κτλ.* R.

[2]) Lege: *τῷ τῶν ἴσων θέλειν τυχεῖν*, id est: eo quod velimus, etc. Vetus Interpres: si velimus etc. R. — Equidem a partibus Ruaei steterim.

[3]) Matth. VI, 12.

[4]) Haec et quae subsequuntur in versione Veteris Interpretis sequentibus adjuncta leguntur, et rectius quidem. Legas igitur: *Πᾶν δὲ ἁμάρτημα ὀφείλημά ἐστιν.*

Εἰ δὲ ἀνάγκη καλέσῃ, δεῖ εὔχεσθαι τοῦ ῥυσθῆναι,[1] *καὶ μὴ ἡττηθῆναι. Ὁ γὰρ ἐν τῇ πάλῃ νικῶν, καὶ μὴ ἐγκαταλειπόμενος, οὐκ εἰσέρχεται εἰς πειρασμόν· πειρασμὸς γάρ ἐστιν ἡ ἧττα, καὶ ἡ ἀπὸ τοῦ διαβόλου πλάνη. Ὁ δὲ μὴ εἰσελθὼν εἰς δίκτυα πειρασμοῦ, ἐῤῥύσθη*[2] *„ἀπὸ τοῦ πονηροῦ.“ Πονηρὸς*[3] *δέ ἐστιν ὁ διάβολος, οὐ φύσει, ἀλλὰ προαιρέσει. Οὐ γὰρ τῶν ἐκ φύσεώς ἐστιν ἡ πονηρία, ἀλλ' ἐξ αὐτεξουσίου κακίας, καὶ προαιρέσεως γίνεται· κατ' ἐξοχὴν δὲ οὕτω*[4] *καλεῖται διὰ τὴν ὑπερβολὴν τῆς κακίας.*

Εἰ γὰρ μὴ ἐνδύσηταί τις τῆς ἀμνησικακίας ἀρετὴν, οὐ δύναται τυχεῖν ἀφέσεως.

Εἶτα διδάσκει μὴ παραιτεῖσθαι τοὺς ἀγῶνας, πλὴν μὴ ἐπιῤῥίπτειν ἑαυτούς. Εἰ δὲ ἀνάγκη κτλ.

[1]) Cfr. Matth. VI, 13. [2]) Cfr. Matth. VI, 13.

[3]) Haec mutuatus est Scholiographus a Chrysostomo, cujus in Homil. XIX. in Matth. haec sunt verba: *Πονηρὸν ἐνταῦθα τὸν διάβολον καλεῖ, —, δεικνὺς, ὅτι οὐ φύσει τοιοῦτός ἐστιν· οὐ γὰρ τῶν ἐκ φύσεως, ἀλλὰ τῶν ἐκ προαιρέσεως ἐπιγινομένων ἐστὶν ἡ πονηρία. Κατ' ἐξοχὴν δὲ οὕτως ἐκεῖνος καλεῖται, διὰ τὴν ὑπερβολὴν τῆς κακίας.* Vides jam tandem quo jure Origeni adscripta sint haec Scholia. R.

[4]) Legendum opinor: *οὕτως ἐκεῖνος καλεῖται*, sicut habet Chrysostomus; vel etiam: *οὕτω ὁ διάβολος καλεῖται*, uti in suo Codice legisse videtur Vetus Interpres. R. — Equidem a partibus Chrysostomi steterim.

Corrigenda.

Pag. 76. not. 1. addas: In seqq. Hieronymus: capere poterant libertatis, pro: ceperant libertatis.
— 119. not. 4. legas: Cfr. II Cor. III, 18.
— 154. not. 2. in fine legas: Cfr. Esther. VI. VII. coll. Judith. XIII.
— 262. lin. 4. legas: *τῷ*, pro: *τοῖ*.
— 279. in notis legas: *Ὦ τῆς ἀνοίας*.

INDEX
LOCORUM SACRAE SCRIPTURAE.

Typis fratrum Unger.